6 a) De coelo, 2, 298 a: διὰ τοὺς ὑπολαμβάνοντας συνάπτειν τὸν περὶ τὰς Ἡρακλείους στήλας τόπον τῷ περὶ Ἰνδικὴν καὶ τοῦτον τὸν τρόπον εἶναι τὴν θάλατταν μίαν μὴ λίαν ὑπολαμβάνειν ἄπιστα δοκεῖν.

Aristóteles en este pasaje es el primero en cometer el error de suponer que hay una distancia relativamente corta entre España e India, error en el que se fundó el viaje de Colón.

7) Meteor. 350 b, 2: ... ἐκ δὲ τῆς Πυρήνης (τοῦτο δ' ἐστὶν ὄρος πρὸς δυσμὴν ἰσημερινὴν ἐν τῇ Κελτικῇ) ῥέουσιν ὅ τε Ἴστρος καὶ ὁ Ταρτησσός. οὗτος μὲν οὖν ἔξω στηλῶν...

El error acerca del nacimiento del Guadalquivir es típico del desconocimiento de España ocasionado por la clausura del estrecho por los Cartagineses (pág. 17). Aristóteles, de todos modos, sabe que el río desemboca más allá de las Columnas.

8) De animal. gen. 748 a, 22: ἔτι δὲ ψυχρὸν τὸ ζῷον ὁ ὄνος ἐστί, διόπερ ἐν τοῖς χειμερινοῖς οὐ θέλει γίνεσθαι τόποις διὰ τὸ δύσριγον εἶναι τὴν φύσιν, οἷον περὶ Σκύθας... οὐδὲ περὶ Κελτοὺς τοὺς ὑπὲρ τῆς Ἰβηρίας. Ψυχρὰ γὰρ καὶ αὕτη ἡ χώρα.

Aristóteles, por lo tanto, distingue Iberia del país de los Celtas. Iberia no es, por lo tanto, en él el nombre de toda la península sino tan sólo el de las costas oriental y meridional. Puede dudarse de que con Κελτοὶ οἱ ὑπὲρ τῆς Ἰβηρίας se quiera significar la Galia o la Meseta de España, céltica originariamente (ver *Numantia*, I, 95).

9) De mundo 393 b, 17: οὐκ ὀλίγαι δὲ μικραὶ (νῆσοι) περὶ τὰς Βρετανικὰς καὶ τὴν Ἰβηρίαν κύκλῳ περιεστεφάνωνται τὴν οἰκουμένην ταύτην ἣν δὴ νῆσον εἰρήκαμεν.

Se quieren significar las dos islas de Gades (ver pág. 59).

Piteas (hacia 330 a. de J. C.)

π. ὠκεανοῦ. (Ver Müllenhoff, *D. Altert.* I, 211; Hergt, *Nordlandfahrt des P.* Diss. Halle, 1893).

Piteas hace época en la historia de la geografía y en la de la Península. Es el primer Griego que volvió a descubrir los países de más allá de las Columnas, inaccesibles desde 500 a. de J. C. a causa de la clausura del estrecho por los Cartagineses. El es también el descubridor científico de las islas Británicas y de la costa del Mar del Norte. De estos países tenía ya un conocimiento oscuro el antiguo Periplo massaliota a través de la información de los Tartesios que navegaban hasta la Bretaña y de los Oestrimnios que llegaban a Irlanda y a la costa del Mar del Norte. Acaso Piteas fué animado por las noticias de su compatriota a visitar esos países nórdicos, conocidos sólo de oidas hasta entonces (*Fontes*, I, 22: ed. cast., pág. 23; *Tartessos*, 58). Para la Península Piteas hace época porque volvió a descubrir su carácter de península que ya conocían los Foceos y por haber extendido a toda ella el nombre de I b e r i a, hasta entonces limitado a las costas meridionales y orientales. Piteas debe colocarse antes de Dicearco que combatió sus opiniones por lo tanto antes de 310 (Estrabón, 104, y pág. 87). Es de creer que Piteas emprendiese su viaje en el Océano inaccesible para los navegantes extranjeros con permiso o incluso con ayuda de los Cartagineses. Esto se comprueba con la escala de Piteas en Gades (pág. 81). Podría creerse que los Cartagineses se prometían ventajas para su comercio por medio del atrevido navegante y de sus descubrimientos (ver *Tartessos*, 58).

1) Estrabón 148: καὶ Ἐρατοσθένης δὲ τὴν συνεχῆ τῇ Κάλπῃ Ταρτησσίδα καλεῖσθαί φησι καὶ Ἐρύθειαν νῆσον εὐδαίμονα. πρὸς ὃν Ἀρτεμίδωρος ἀντιλέγων καὶ ταῦτα ψευδῶς λέγεσθαί φησιν ὑπ' αὐτοῦ καθάπερ καὶ τὸ ἀπὸ Γαδείρων ἐπὶ τὸ Ἱερὸν ἀκρωτήριον διάστημα ἀπέχειν ἡμερῶν πέντε πλοῦν οὐ πλειόνων ὄντων ἢ χιλίων καὶ ἑπτακοσίων σταδίων καὶ τὸ τὰς ἀμπώτεις μέχρι δεῦρο περατοῦσθαι ἀντὶ τοῦ κύκλῳ περὶ πᾶσαν τὴν οἰκουμένην συμβαίνειν καὶ τὸ τὰ προσαρκτικὰ μέρη τῆς Ἰβηρίας εὐπαροδώτερα εἶναι πρὸς τὴν Κελτικὴν ἢ κατὰ τὸν Ὠκεανὸν πλέουσι καὶ ὅσα δὴ ἄλλα εἴρηκε Πυθέᾳ πιστεύσας.

La fuente de Eratóstenes para los países oceánicos es Piteas, habiendo Eratóstenes sido bastante inteligente para prestarle crédito (como después de él hicieron también Timeo, Hiparco, Posidonio), mientras que Polibio, Artemidoro, Estrabón tuvieron a Piteas por un embustero. Piteas llamaba, pues, la costa al W. de Gibraltar Tartésside y mencionaba la isla Eritia. El nombre de Tartésside pudo haber sobrevivido a la destrucción de Tartessos (hacia 500), habiendo sido usado por primera vez en la literatura por Éforo (pág. 56). Por Eritia, Piteas entendió, como entonces era corriente, seguramente las islas de Gades. Artemidoro, que ejerció la crítica acerca de estas indicaciones, parece haber combatido la existencia de Eritia y de Tartessos. Todavía más absurda es su censura de que Piteas calculaba cinco días completos de navegación desde Gades al Cabo Sagrado—S. Vicente, cuando en realidad no hay más de 1700 estadios. Piteas naturalmente no cometió jamás semejante error, sino que o bien designó el cabo Ortegal como Cabo Sagrado (casi todos los cabos principales de esta costa eran sede de divinidades: *Fontes*, I, 30: ed. cast., pág. 33), o bien, como muy acertadamente sospecha Hergt (lug. cit. 17), se expresó lo mismo que Plinio cuando dice (2, 242) que hay *a Gadibus circuitu sacri promunturii* (cabo S. Vicente) *ad promunturium Artabrum* tanto o cuanto. Que los cinco días de navegación se refieren al trayecto cabo Ortegal-Columnas se desprende del antiguo Periplo, que da igual distancia. En este cálculo de la costa occidental (latitud de la península) en cinco días de navegación se apoya la posterior estimación de la latitud en 5000 estadios, que encontramos en Eratóstenes (Estrab. 148), Posidonio (Estrab. 128, 137), Estrabón, Tolomeo (*Fontes*, I, 21: ed.

cast., pág. 23), lo mismo que el cálculo de la longitud (costa oriental) en 6000 estadios (Estrabón, 106, 128, 137) descansa en los seis días de Piteas. También con la indicación de que la marea llega hasta Gades, tenía Piteas razón, en cuanto la marea en el Océano llega a un nivel más alto que en el Mediterráneo. El último ataque a Piteas es así mismo infundado, ya que Piteas habría dicho que a la costa española septentrional se llega desde Galia más fácilmente (y más de prisa) por el istmo que por mar, dando la vuelta a toda España (Hergt, 19). De estas indicaciones de Piteas se desprende que navegó hacia la Bretaña siguiendo las costas españolas primero y después las de Galia, no atravesando diagonalmente desde el Cabo Ortegal el golfo de Vizcaya, como se ha creído (Hergt, lug. cit. 20 y sig.). Tal ruta se desprende también de la mención por Piteas de la desembocadura del Loire a propósito del emporio de Corbilón (Estrab. 190). Esta indicación demuestra al propio tiempo que Piteas conocía el istmo y con ello la península como tal. Este conocimiento lo tenían ya los Foceos (*Fontes*, I, 21: ed. cast., pág. 23), pero se había perdido por completo a consecuencia de la clausura del estrecho por los Cartagineses, y después de Piteas se perdió por segunda vez por la estulticia de los posteriores (Estrabón, etc.). Como que τὰ προσαρκτικὰ μέρη τῆς Ἰβηρίας procede de él, parece que Piteas extendió por primera vez a toda la península el nombre de Iberia, limitado hasta entonces a las costas orientales y meridionales. Esto en realidad es perfectamente posible, pues después del 400 los Iberos, que antes se limitaban a aquellas costas, se habían extendido por la Meseta y el Occidente, por lo tanto por toda la península (*Numantia*, I, 98). Píteas sería, así, el primer testimonio de esta nueva fase de la geografía española, siendo Eratóstenes el segundo. Acaso la comparación de la forma de la península con una piel de toro, que se halla en Posidonio (Estrab. 83, 128, 137), proceda de Piteas, ya que él, por primera vez después del Periplo, tuvo una idea exacta de dicha forma, de su longitud y latitud, y del istmo.

2) Estrab. 64 (según Eratóstenes): ... δεῖν δὲ ἔτι προσθεῖναι (a la longitud del ecumeno) τὸ ἐκτὸς Ἡρακλείων στηλῶν

κύρτωμα τῆς Εὐρώπης ἀντικείμενον μὲν τοῖς Ἴβηρσι προπεπτωκὸς δὲ πρὸς τὴν ἑσπέραν οὐκ ἔλαττον σταδίων τρισχιλίων καὶ τὰ ἀκρωτήρια τά τε ἄλλα καὶ τὸ τῶν Ὠστιμίων ὃ καλεῖται Κάβαιον καὶ τὰς κατὰ τοῦτο νήσους, ὧν τὴν ἐσχάτην Οὐξισάμην φησὶ Πυθέας ἀπέχειν ἡμερῶν τριῶν πλοῦν. ταῦτα δ' εἰπὼν τὰ τελευταῖα οὐδὲν πρὸς τὸ μῆκος συντείνοντα προσέθηκε τὰ περὶ τῶν ἀκρωτηρίων καὶ τῶν Ὠστιμίων καὶ τῆς Οὐξισάμης καὶ ὧν φησι νήσων. ταῦτα γὰρ πάντα προσάρκτιά ἐστι καὶ Κελτικά, οὐκ Ἰβηρικά, μᾶλλον δὲ Πυθέου πλάσματα. προστίθησι δὲ τοῖς εἰρημένοις τοῦ μήκους διαστήμασιν ἄλλους σταδίους δισχιλίους μὲν πρὸς τῇ δύσει, δισχιλίους δὲ πρὸς τῇ ἀνατολῇ, ἵνα σώσῃ τὸ πλέον ἢ διπλάσιον τὸ μῆκος τοῦ πλάτους εἶναι.

De Eratóstenes que aquí transcribe a Piteas.

τὸ ἐκτὸς Ἡρ. στηλ. κύρτωμα... es la costa del SW. de la península, hasta el Cabo de Roca (Berger, *Eratost.* 162). Τὸ ἀντικείμενον τοῖς Ἴβηρσι indica que los Iberos vivían en la costa oriental y precisamente sólo aquí o teniendo en ella su asiento principal. Aquí limita por lo tanto Piteas el nombre de Iberia a las costas del S. y E., el antiguo hogar de los Iberos (ver sin embargo antes pág. 79). Como que Piteas da a la costa occidental una longitud de cinco días de navegación (con sus noches) = 5000 estadios (Estrab. 148) cuya medida vuelve a aparecer en Eratóstenes, Posidonio, Estrabón, Ptolomeo (pág. 78), resulta que las medidas tomadas de él (3000 y 2000 estadios) son claramente las medidas parciales de esos 5000 estadios, correspondiendo los 2000 a los dos días completos de navegación (con sus noches), que el Periplo indica desde el Cabo Ortegal al Cabo de Roca, y los 3000 a los tres días y tres noches desde el Cabo de Roca a las Columnas en el Periplo (*Fontes*, I, 20: ed. cast., pág. 21). Con el «saliente» de 3000 estadios hay que entender el saliente formado por la costa desde las Columnas al cabo Roca y con el de 2000 la continuación desde Roca a Ortegal.

3) Estrab. 104: ταῦτα μὲν τὰ Πυθέου καὶ διότι ἐπανελθὼν ἐνθένδε πᾶσαν ἐπέλθοι τὴν παρωκεανῖτιν τῆς Εὐρώπης ἀπὸ Γαδείρων ἕως Τανάιδος.

De su indicación: que navegó por la costa del Océano desde

Gades al Tanais se desprende que P i t e a s p a r t i ó d e G a d e s, y de ello resulta que hizo su viaje de acuerdo con los Cartagineses (no secretamente y forzando el bloqueo; ver *Tartessos*, 49 y pág. 77). Con el T a n a i s sólo puede significar Piteas el Elba, hasta donde llegó, como se desprende de su descripción de Helgoland (=Abalus) (Plinio, 37, 35).

Teofrasto (370 apr. - 290 a. de J. C.)

1) De mirab. ausc. 46: ... καὶ ἐν Ἰβηρίᾳ δὲ τὸν καλούμενον Θεόδωρον ποταμὸν ἐκβράσσειν τε πολὺ περὶ τὰ χείλη χρυσίον, ὁμοίως δὲ καὶ καταφέρειν.

Sobre Teofrasto como fuente del pasaje en cuestión, ver Geffcken, *Timaios*, 88. El nombre helenizado (Teodoro) del río llamado en ibérico Tader, se halla ya en el antiguo Periplo (*Fontes*, I, 107: ed. cast., pág. 117). La riqueza aurífera de los ríos españoles era célebre, habiendo dado lugar al nombre del Criso, llamado otras veces Barbesula (Guadiaro) (*Fontes*, I, 103: ed. cast., pág. 112).

2) De mirab. ausc. 50: τὸν κασσίτερον τὸν Κελτικὸν τήκεσθαί φασι πολὺ τάχιον μολύβδου.

Los Griegos recibían, por consiguiente, todavía entonces el estaño del Occidente céltico, de las islas Británicas, y no de España ni mucho menos de Oriente. Los mediadores fueron hasta cerca del año 500 los Tartesios, luego los Cartagineses, como dominadores del estrecho y del Océano.

3) Hist. plant. 4, 7, 1: ἐν δὲ τῇ ἔξω τῇ περὶ Ἡρακλέους στήλας θαλάσσῃ τό τε πράσον ὥσπερ εἴρηται φύεται καὶ τὰ ἀπολιθούμενα ταῦτα οἷον θῦμα καὶ τὰ δαφνοειδῆ καὶ τὰ ἄλλα.

4) Id., id., 4, 6, 3: γίνεται δὲ (φῦκος) ἐν μὲν τῇ ἔξω τῇ περὶ Ἡρακλέους στήλας θαυμαστόν τι τὸ μέγεθος ὥς φασι καὶ τὸ πλάτος μεῖζον ἢ παλαιστιαῖον. φέρεται δὲ τοῦτο εἰς τὴν ἔσω θάλασσαν ἅμα τῷ ῥῷ τῷ ἔξωθεν καὶ καλοῦσιν αὐτὸ πράσον.

Sobre las algas en el Océano, ver pág. 96.
Las plantas españolas no las menciona Teofrasto, cosa sintomática de la ignorancia de la época (pág. 74).

5) De lápid. 58: γίνεται δὲ καὶ κιννάβαρι τὸ μὲν αὐτοφυὲς τὸ δὲ κατ' ἐργασίαν, αὐτοφυὲς μὲν τὸ περὶ Ἰβηρίαν σκληρὸν σφόδρα καὶ λιθῶδες καὶ τὸ ἐν Κόλχοις.

Acerca del cinabrio, ver *Hispania*, pág. 75.

Menandro (340-290 a. de J. C.)

(ed. Kock, *Fragm. Comic. Graec.* III, 25)

Esteban de Bizancio, v. Ἰβηρίαι, „Ἑλληνὶς οὐκ Ἰβηρίς" Μένανδρος Ἀσπίδι. (=Fr. 79).

Como que el título de la comedia es Ἀσπίς, escudo, y que el fragmento 78 menciona uno, debe completarse acaso Ἑλληνίς, Ἰβηρίς con ἀσπίς. El escudo ibérico se distinguía del griego especialmente por su forma circular y su pequeñez (*Numantia*, I, 220).

Difilo (posterior a Menandro)

Ateneo 3, 121 a: κρείσσων δὲ ὁ Ἀμυκλανὸς (σκόμβρος) καὶ Σπανὸς ὁ Σαξιτανὸς λεγόμενος, λεπτότερος γὰρ καὶ γλυκύτερος.

El pasaje parece proceder de Difilo (véase Kaibel, comentario a este lugar). La salazón de Sexi (Almuñécar, al Este de Málaga), es alabada también por Estrabón, 156.

Clearco de Soloi (hacia 300 a. de J. C.)

(ed. *FHG*. II, 302)

Escoliasta de Licofrón, 649: Κλέαρχος γὰρ τὰς κατὰ Γάδειρα στήλας τοῦ Βριάρεω Ἡρακλέους εἶναι λέγει μεθ' ὃν δεύτερος Ἡρακλῆς ὁ Τύριος ἦλθεν ἐπὶ τὰ Γάδειρα καὶ τρίτος Ἕλλην (= Fr. 56).

Clearco, discípulo de Aristóteles. Acerca de Briareo, ver pág. 75.

Dicearco (hacia 310 a. de J. C.)

γῆς περίοδος: (ed. *FHG.* II, 225; ver *RE.* V 559)

Estrab. 170: καὶ Δικαίαρχος δὲ καὶ Ἐρατοσθένης καὶ Πολύβιος καὶ οἱ πλεῖστοι τῶν Ἑλλήνων περὶ τὸν πορθμὸν ἀποφαίνουσι τὰς Στήλας.

Dicearco escribió un Periplo, que como de ordinario comenzaba en las Columnas, habiendo sido utilizado por Eratóstenes, Timóstenes, Polibio, Posidonio. Dicearco es el más antiguo de los autores, cuyas opiniones discute Polibio, pasando por alto los más antiguos (34, 5). Dicearco fué el primero que dudó de Piteas (Estrab. 104: Πυθέᾳ δὲ πιστεύειν [Eratóstenes] καὶ ταῦτα μηδὲ Δικαιάρχου πιστεύσαντος).

Filitas de Cos (hacia 300 a. de J. C.)

Estrab. 168: σφενδόνας δὲ περὶ τῇ κεφαλῇ τρεῖς μελαγκρανίνας. Sobre ello el Escoliasta: μελαγκρανίνας, σχοίνου εἶδος, ἐξ οὗ πλέκεται τὰ σχοινία. καὶ Φιλητᾶς ἐν Ἑρμηνείᾳ (?) « λευγαλέος δὲ χιτὼν πεπινωμένος, ἀμφὶ δ' ἀραιὴ ἴξὺς εἰλεῖται, κόμμα μελαγκρά-⟨ν⟩ινον » ὡς σχοίνῳ ἐζωσμένου.

Con μελ. se significa probablemente *schoenus nigricans* que crece en las Baleares (ver Meyer, *Botanische Erläuterungen zu Strabo*, 9).

Que los Baleares arrollaban las hondas alrededor del talle lo atestigua Diodoro V, 18.

ἀραιὴ ἴξύς. Talle delgado, típico de la raza ibérica esbelta.

ἐν Ἑρμηνείᾳ está corrompido, se podría ante todo sospechar que fuese Ἑρμῇ porque Filitas escribió una epopeya que llevaba este título, pero estaba en hexámetros, mientras que aquí se usa el metro elegíaco, por lo que acaso es ἐλεγείᾳ? (Ver Meineke, *Analecta Alex.* 349).

Megastenes (hacia 300 a. de J. C.)
(ed. *FHG*. II, 39*l*).

1) Josefo, Antiq. 10, 227 (Naber): ... καὶ Μεγασθένης δ' ἐν τῇ τετάρτῃ τῶν Ἰνδικῶν μνημονεύει αὐτῶν, δι' ἧς ἀποφαίνειν πειρᾶται τοῦτον τὸν βασιλέα (Nebukadnezar) τῇ ἀνδρείᾳ καὶ τῷ μεγέθει τῶν πράξεων ὑπερβεβηκότα τὸν Ἡ ρ α κ λ έ α· καταστρέψασθαι γὰρ αὐτόν φησι Λιβύης τὴν πολλὴν καὶ Ἰ β η ρ ί α ν. (= Fr. 22 Müller).

Nebukadnezar II (604-562) llegó a someter Egipto, pero de ninguna manera Libia e Iberia. La noticia es completamente inventada. Las fuentes babilónicas no saben nada de ello.

1 a) Estrab. 686: καίτοι Σέσωστριν μὲν τὸν Αἰγύπτιον καὶ Τεάρκωνα τὸν Αἰθίοπα ἕως Εὐρώπης προελθεῖν, Ν α β ο κ ο δ ρ ό σ ο ρ ο ν δὲ τὸν παρὰ Χαλδαίοις εὐδοκιμήσαντα Ἡρακλέους μᾶλλον καὶ ἕως Σ τ η λ ῶ ν ἐλάσαι. μέχρι μὲν δὴ δεῦρο καὶ Τεάρκωνα ἀφικέσθαι, ἐκεῖνον δὲ καὶ ἐκ τῆς Ἰ β η ρ ί α ς εἰς τὴν Θρᾴκην καὶ τὸν Πόντον ἀγαγεῖν τὴν στρατιάν.

Así mismo Eusebio, Prep. ev. 9, 456 D; Synkell. 221 D.

279 a. de J. C.

Plut. Pirro, 21: ... τοῦ Πύρρου τρωθέντος ὑσσῷ τὸν βραχίονα...

Batalla de Asculum 279 a. de J. C.

ὑσσός=pilum. Pero el pilum lo tomaron los Romanos de los Iberos, por lo que no pudo ser introducido antes de 218 (ver mi artículo *Der Ursprung des Pilums*, Rhein. Mus. 1911). Aquí procede el nombre probablemente de fuentes posteriores o del mismo Plutarco.

Timóstenes de Rodas (hacia 280 a. de J. C.

περὶ λιμένων (ver Wagner, *Erdbeschreibung des T. Diss. Leipzig*, 1888).

1) Marciano (*GGM.* I, 566): Τιμοσθένης... ἀμέλει τῆς μὲν Εὐρώπης τὸ Τυρρηνικὸν πέλαγος ἀτελῶς περιέπλευσε, τὰ δὲ περὶ τὸν Ἡράκλειον πορθμὸν οὔτε τῆς καθ' ἡμᾶς οὔτε τῆς ἔξω θαλάσσης ἴσχυσε γνῶναι.

La noticia es importante como testimonio del desconocimiento entonces habitual del mar occidental, especialmente del Océano, consecuencia del bloqueo cartaginés (ver antes, pág. 17 etc.).


1 a) Estrab. 93: καὶ νῦν δ' εἰρήσθω ὅτι καὶ Τιμοσθένης καὶ Ἐρατοσθένης... τελέως ἠγνόουν τά τε Ἰβηρικὰ καὶ τὰ Κελτικά.

Timóstenes fué también la fuente de Eratóstenes para el Occidente (Estrab. 92; Marciano, *GGM.* I, 566); pero como todos los autores de antes de la conquista romana, es rechazado por Estrabón, probablemente porque seguía a Piteas.

2) Estrab. 140 (Wagner, 68): (ἡ Κάλπη)... ἐκπλέουσιν οὖν ἐκ τῆς ἡμετέρας θαλάσσης εἰς τὴν ἔξω δεξιόν ἐστι τοῦτο καὶ πρὸς αὐτὸ Καρτηία (cod. Κάλπη) πόλις ἐν τετταράκοντα σταδίοις ἀξιόλογος καὶ παλαιά, ναύσταθμόν ποτε γενομένη τῶν Ἰβήρων. ἔνιοι δὲ καὶ Ἡρακλέους κτίσμα λέγουσιν αὐτήν, ὧν ἐστι καὶ Τιμοσθένης, ὅς φησι καὶ Ἡρακλείαν ὀνομάζεσθαι τὸ παλαιὸν δείκνυσθαί τε μέγαν περίβολον καὶ νεωσοίκους.

La enmienda Καρτηία en lugar de Κάλπη es segura (a pesar de Hübner *RE.* III, 1618), pues Calpe se acaba de nombrar y los 40 estadios (7, 3 Km.) corresponden a la distancia de Calpe a las ruínas de Carteia situadas a mitad de camino entre Gibraltar y Algeciras, y cuyo nombre conserva la «Torre de Cartagena» (esto es, de Carteia) (*RE.* III, 1619). También en otros lugares se desfigura el nombre de Carteia (en Nic. Damasc. fr. 99: Καλπία; en Pausanias 6, 19, 3: Καρπία; en Apiano, Ib. 63: Καρπησσός). El supuesto nombre de Herakleia debe referirse al viaje a Tartessos de Heracles (ver pág. 8); ναύσταθμόν ποτε τῶν Ἰβήρων designa Carteia probablemente como uno de los puertos más antiguos para el tráfico de los Iberos con su primitiva patria africana. ¿O acaso también aquí se habría confundido Carteia con Tartessos? (Ver *Tartessos*, 60). Como que Timóstenes no navegó él mismo por aquella costa (ver n.º 1), recogió la noticia sobre Carteia de un autor más antiguo, acaso Piteas.

3) Agatemero (*GGH.* II, 473) (= Wagner 65): Τιμοσθένης δὲ ὁ γράψας τοὺς περίπλους δώδεκα (ἀνέμους) φησί, προστιθεὶς μέσον Ἀπαρκτίου καὶ Καικίου Βορέαν, Εὔρου δὲ καὶ Νότου Φοίνικα, τὸν καὶ



Εὐρύνοτον, μέσον δὲ Νότου καὶ Λιβὸς τὸν Λευκόνοτον ἤτοι Λιβύνοτον, μέσον δὲ Ἀπαρκτίου καὶ Ἀργέστου Θρασκίαν ἤτοι Κίρκιον ὑπὸ τῶν περιοίκων ⟨ὀνομαζόμενον⟩. ἔθνη δὲ οἰκεῖν τὰ πέρατα κατ' Ἀπηλιώτην Βακτριανούς, κατ' Εὖρον Ἰνδούς, κατὰ Φοίνικα Ἐρυθρὰν θάλασσαν καὶ

Αἰθιοπίαν, κατὰ Νότον τὴν ὑπὲρ Αἴγυπτον Αἰθιοπίαν, κατὰ Λευκόνοτον τοὺς ὑπὲρ Σύρτεις Γαράμαντας, κατὰ Λίβα Αἰθίοπας δυσμικούς, ὑπὲρ Μαύρους, κατὰ Ζέφυρον Στήλας καὶ ἀρχὰς Λιβύης και Εὐρώπης, κατ' Ἀργέστην Ἰβηρίαν (τὴν νῦν Ἱσπανίαν), κατὰ δὲ Θρασκίαν Κελτοὺς καὶ τὰ ὅμορα, κατὰ δ' Ἀπαρκτίαν τοὺς ὑπὲρ Θρᾴκην Σκύθας, κατὰ δὲ Βορᾶν Πόντον Μαιῶτιν, Σαρμάτας, κατὰ Καικίαν Κασπίαν θάλασσαν καὶ Σάκας.

La rosa de los vientos con doce de ellos, ya la encontró Timóstenes; nuevo parece, en cambio, el identificar cada viento con un pueblo, en lo que sigue el ejemplo de Éforo (ver Éforo, pág. 63).

Argestes es el NW., *Thraskias* o *Kirkios* el NNW. (Kaibel, *Hermes*, 1885, 605). Acerca del *Circius*, el *cers* de la Provenza, el cierzo español que es frecuente en Provenza y en el NE. de España, ver *Numantia*, I, 161. Timóstenes es el más antiguo testimonio del nombre y él introdujo el *Circius* en la rosa de los vientos, como nombre suplementario del *Thraskias* (Kaibel, 607). El nombre sólo se encuentra, en griego, en este pasaje (ver Steph. *Thes. Ling. Gr.*).

Timeo (340-250 a. de J. C. apr.)

ἱστορίαι ed. Geffcken, *Timaios und die Geographie des Westens* (1892) pág. 152 y sig.; *FHG.* I, 193; ver Ed. Schwartz, *Timaios Geschichtswerk* (*Hermes* 1899)

Timeo, en su Historia de Italia y de Sicilia, apartándose de su asunto notablemente, pero llevado a ello al tratar de los Cartagineses, dió una geografía del extremo occidente, con Iberia y los países oceánicos (Britannia, la costa del mar del Norte), especialmente en los libros 1-2. Las noticias que se refieren a Iberia, etc., las tiene la mayor parte de las veces de Eforo y las que conciernen el mundo oceánico de Piteas, su inmediato antecesor, cuya apreciación le honra. Timeo no parece haber viajado él mismo, pero reunió sus noticias con gran aplicación (Polib. 12, 28, a, 3: αὐτὸς [Timeo] γοῦν τηλικαύτην ὑπομεμενηκέναι δαπάνην καὶ κακοπάθειαν τοῦ συναγαγεῖν τὰ παρ' Ἀσσυρίων ὑπομνήματα καὶ πολυπραγμονῆσαι τὰ Λιγύων ἔθη καὶ Κελτῶν, ἅμα δὲ τούτοις Ἰβήρων, ὥστε μηδ' ἂν αὐτὸς ἐλπίσαι μήποθ' ἑτέροις ἐξηγούμενος πιστευθῆναι περὶ τούτων). La crítica negativa que hace Polibio precisamente de la geografía de Timeo revela la envidia del antecesor afortunado y el orgullo del hombre que ha viajado mucho. Las noticias de Timeo que se refieren a Iberia aparecen completamente dignas de crédito y, junto con las de Éforo, de las que en parte proceden, se cuentan entre las mejores aportaciones de la etnografía anterior a Polibio.

1) De mirab. ausc. 135 (Geffcken 97): τοὺς πρώτους τῶν Φοινίκων ἐπὶ Ταρτησσὸν πλεύσαντας λέγεται τοσοῦτον ἄργυρον ἀντιφορτίσασθαι, ἔλαιον καὶ ἄλλον ναυτικὸν ῥῶπον εἰσαγαγόντας, ὥστε μηκέτι ἔχειν μηδὲ ἐπιδέξασθαι τὸν ἄργυρον, ἀλλ' ἀναγκασθῆναι ἀποπλέοντας ἐκ

τῶν τόπων τά τε ἄλλα πάντα ἀργυρᾶ, οἷς ἐχρῶντο, κατασκευάσασθαι, καὶ δὴ καὶ τὰς ἀγκύρας πάσας.

1 a) Copiado de Posidonio en Diodoro 5, 35, 4: ἐπὶ τοσοῦτο δὲ τοὺς ἐμπόρους διατεῖναι τῆς φιλοκερδίας, ὥστε ἐπειδὰν καταγόμων ὄντων τῶν πλοίων περιττεύῃ πολὺς ἄργυρος ἐκκόπτειν τὸν ἐν ταῖς ἀγκύραις μόλιβδον καὶ ἐκ τοῦ ἀργύρου τὴν ἐκ τοῦ μολίβδου χρείαν ἀλλάττεσθαι.

Acerca de la riqueza en plata de Tartessos, ver *Tartessos*, 63. Acerca de los viajes a Tartessos de los Fenicios (Tirios) el propio lugar, cap. 1 y 3. De la importación de aceite por los Tirios se desprende que los Tartesios no poseían todavía el olivo y que lo recibirían probablemente de los Tirios (*Tartessos*, 69).

2) Licofrón, Alex. 642:

καὶ τοὶ μὲν ἀκτὰς ἐμβατήσονται λεπράς
Ἰβηροβόσκου ἄγχι Ταρτησοῦ πύλης.

Se trata de los Griegos llegados de Troia al Occidente. Acerca de Tartessos como ciudad ibérica, ver *Tartessos*, 77. Ταρτησοῦ πύλη fué llamado el estrecho de Gibraltar por los Foceos, mientras que después de la destrucción de Tartessos recibió su nombre de Gades: πύλη Γαδειρίς (así por primera vez en Píndaro, lug. cit. pág. 16).

3) Plinio, n. h. 4, 120 (Geffcken, 153): *vocatur* (la más pequeña de las dos islas al Oeste de Gades: S. Sebastián) *ab Ephoro et Philistide Erythea, a Timaeo et Sileno Aphrodisias, ab indigenis Junonis, maiorem* (la mayor de las islas, con Cádiz) *Timaeus Cotinusam ab oleis vocitatam ait, nostri Tartesson appellant, Poeni Gadir ita Puncia lingua saepem significante.*

3 a) Esteb.: Ἀφροδισίας... νῆσος ἡ πρότερον Ἐρυθεία μεταξὺ Ἰβηρίας καὶ Γαδείρων.

3 b) Dionis. Per. 456:
κληζομένην Κοτινοῦσαν ἐφημίξαντο Γάδειρα.

3 c) De mirab. ausc. 133 (Geffcken, 154, 95): ... οὐδὲ γὰρ ἐν τοῖς κατὰ Λιβύην καὶ Ἰβηρίαν τόποις οὐδαμοῦ τὸ ὄνομά φασι λέγεσθαι τῆς Ἐρυθείας.

La mayor de las islas de Gades se denominó por los antiguos autores con el nombre mítico de Eritia (ver pág. 10). Timeo, por el contrario, la llamó con el nombre foceo de Kotinussa (ver *Tartessos*, 28). La menor, S. Sebastián, a la que también se aplicó el nombre de Eritia (pág. 59), la denominó según la diosa indígena del mar, ya citada en el antiguo Periplo, Afrodisia (Avieno: Venus marina: *Fontes*, I, 98: ed. cast., pág. 106), con lo que al propio tiempo viene a discutir la realidad de una Eritia occidental, lo mismo que había hecho ya Hecateo (*Fontes*, I, 133: ed. cast., pág. 165).

4) De mirab. ausc. 136 (Geffcken, 97): λέγουσι τοὺς Φοίνικας τοὺς κατοικοῦντας τὰ Γάδειρα καλούμενα ἔξω πλέοντες Ἡρακλείων στηλῶν ἀπηλιώτῃ ἀνέμῳ ἡμέρας τέτταρας παραγίνεσθαι εἴς τινας τόπους ἐρήμους θρύου καὶ φύκους πλήρεις, οὓς ὅταν μὲν ἄμπωτις ᾖ μὴ βαπτίζεσθαι, ὅταν δὲ πλήμμυρα, κατακλύζεσθαι, ἐφ' ὧν εὑρίσκεσθαι ὑπερβάλλον θύννων πλῆθος καὶ τοῖς μεγέθεσιν ἄπιστον καὶ τοῖς πάχεσιν ὅταν ἐπωκείλωσιν, οὓς ταριχεύοντες καὶ συντιθέντες εἰς ἀγγεῖα διακομίζουσιν εἰς Καρχηδόνα, ὧν Καρχηδόνιοι μόνων οὐ ποιοῦνται τὴν ἐξαγωγὴν ἀλλὰ διὰ τὴν ἀρετήν, ἣν ἔχουσι κατὰ τὴν βρῶσιν, αὐτοὶ καταναλίσκουσιν.

El pasaje es importante, porque las algas constituyen uno de los terrores del Océano, mediante los cuales los Cartagineses querían impedir a las naves extranjeras la navegación más allá del estrecho (pág. 14). Con un viaje de cuatro días (con sus noches) de navegación=4000 estadios=700 Km., llegaban los Gaditanos a la región de Mogador, a donde pudieron ser arrastradas partes de las praderas del mar de Sargazo, cuyo lugar principal se encuentra mucho más al Oeste, hacia las islas Antillas (*Petermanns Mitteilungen*, 1891, 129). Acerca de la pesca del atún de los Gaditanos, ver pág. 42.

5) Diodoro V, 20: κατὰ μὲν οὖν τοὺς παλαιοὺς χρόνους ἀνεύρετος ἦν (Madeira) διὰ τὸν ἀπὸ τῆς ὅλης οἰκουμένης ἐκτοπισμόν, ὕστερον δ' εὑρέθη διὰ τοιαύτας αἰτίας. Φοίνικες ἐκ παλαιῶν χρόνων συνεχῶς πλέοντες κατ' ἐμπορίαν πολλὰς μὲν κατὰ τὴν Λιβύην ἀποικίας ἐποιήσαντο, οὐκ ὀλίγας δὲ καὶ τῆς Εὐρώπης ἐν τοῖς πρὸς δύσιν κεκλιμένοις μέρεσι. τῶν δ' ἐπιβολῶν αὐτοῖς κατὰ νοῦν προχωρουσῶν πλούτους μεγάλους ἤθροισαν, καὶ τὴν ἐκτὸς Ἡρακλείων στηλῶν ἐπεβάλοντο πλεῖν, ἣν Ὠκεανὸν ὀνομάζουσι. καὶ πρῶτον μὲν ἐπ' αὐτοῦ τοῦ κατὰ τὰς Στήλας πόρου πόλιν ἔκτισαν ἐπὶ τῆς Εὐρώπης ἣν οὖσαν χερρόνησον προσηγόρευσαν Γάδειρα, ἐν ᾗ τά τε ἄλλα κατεσκεύασαν οἰκείως τοῖς τόποις καὶ ναὸν Ἡρακλέους πολυτελῆ, καὶ θυσίας κατέδειξαν μεγαλοπρεπεῖς τοῖς τῶν Φοινίκων ἔθεσι διοικουμένας. τὸ δὲ ἱερὸν συνέβη τοῦτο καὶ τότε καὶ κατὰ τοὺς νεωτέρους χρόνους τιμᾶσθαι περιττότερον μέχρι τῆς καθ' ἡμᾶς ἡλικίας. πολλὰ δὲ καὶ τῶν Ῥωμαίων ἐπιφανεῖς ἄνδρες καὶ μεγάλας πράξεις κατειργασμένοι ἐποιήσαντο μὲν τούτῳ τῷ θεῷ εὐχάς, συνετέλεσαν δ' αὐτὰς μετὰ τὴν συντέλειαν τῶν κατορθωμάτων. οἱ δ' οὖν Φοίνικες διὰ τὰς προειρημένας αἰτίας ἐρευνῶντες τὴν ἐκτὸς τῶν στηλῶν παραλίαν καὶ παρὰ τὴν Λιβύην πλέοντες ὑπ' ἀνέμων μεγάλων ἀπηνέχθησαν ἐπὶ πολὺν πλοῦν δι' Ὠκεανοῦ. χειμασθέντες δ' ἐπὶ πολλὰς ἡμέρας προσηνέχθησαν τῇ προειρημένῃ νήσῳ, καὶ τὴν εὐδαιμονίαν αὐτῆς καὶ φύσιν κατοπτεύσαντες ἅπασι γνώριμον ἐποίησαν. διὸ καὶ Τυρρηνῶν θαλαττοκρατούντων καὶ πέμπειν εἰς αὐτὴν ἀποικίαν ἐπιβαλλομένων διεκώλυσαν αὐτοὺς Καρχηδόνιοι, ἅμα μὲν εὐλαβούμενοι μὴ διὰ τὴν ἀρετὴν τῆς νήσου πολλοὶ τῶν ἐκ τῆς Καρχηδόνος εἰς ἐκείνην μεταστῶσιν, ἅμα δὲ πρὸς τὰ παράβολα τῆς τύχης κατασκευαζόμενοι καταφυγήν, εἴ τι περὶ τὴν Καρχηδόνα ὁλοσχερὲς πταῖσμα συμβαίνοι· δυνήσεσθαι γὰρ αὐτοὺς θαλαττοκρατοῦντας ἀπᾶραι πανοικίους εἰς ἀγνοουμένην ὑπὸ τῶν ὑπερεχόντων νῆσον.

5 a) De mirab. ausc. 84: ἐν τῇ θαλάσσῃ τῇ ἔξω Ἡρακλείων στηλῶν φασιν ὑπὸ Καρχηδονίων νῆσον εὑρεθῆναι ἐρήμην, ἔχουσαν ὕλην τε παντοδαπὴν καὶ ποταμοὺς πλωτοὺς καὶ τοῖς λοιποῖς καρποῖς θαυμαστήν, ἀπέχουσαν δὲ πλειόνων ἡμερῶν πλοῦν· ἐν ᾗ ἐπιμισγομένων τῶν Καρχηδονίων πολλάκις διὰ τὴν εὐδαιμονίαν, ἐνίων γε μὴν καὶ οἰκούντων τοὺς προεστῶτας τῶν Καρχηδονίων ἀπείπασθαι θανάτῳ ζημιοῦν τοὺς εἰς αὐτὴν πλευσομένους καὶ τοὺς ἐνοικοῦντας πάντας ἀφανίσαι ἵνα μὴ διαγγέλλωσι, μηδὲ πλῆθος συστραφὲν ἀπαντῶν ἐπὶ τὴν νῆσον κυρίας τύχῃ καὶ τὴν τῶν Καρχηδονίων εὐδαιμονίαν ἀφέληται. Geffcken, 66.

La isla descrita por Timeo (Diod. V, 19), es Madeira, como se desprende de la otra descripción que conservamos de ella en Plut. *Sertorio*, 8, en donde se mencionan dos islas: Madeira y Porto Santo. Aquí sólo interesa que los Cartagineses castigaban con pena de muerte a todo el que intentaba ir a Madeira, por lo que el bloqueo del estrecho resulta atestiguado también para el tiempo alrededor de 260 a. de J. C. (ver pág. 17).

6) Diodoro, V, 16 (Geffeken, 97, 154): ἡμεῖς δ' ἀρκούντως εἰρηκότες περὶ τῆς Σαρδόνος διέξιμεν περὶ τῶν ἑξῆς κειμένων νήσων. μετὰ γὰρ τὰς προειρημένας νῆσός ἐστιν ὀνομαζομένη μὲν Πιθυοῦσσα, τὴν δὲ προσηγορίαν ἔχουσα ἀπὸ τοῦ πλήθους τῶν κατ' αὐτὴν φυομένων πιτύων. πελαγία δ' οὖσα διέστηκεν ἀπὸ μὲν Ἡρακλέους στηλῶν πλοῦν ἡμερῶν τριῶν καὶ τῶν ἴσων νυκτῶν, ἀπὸ δὲ Λιβύης ἡμέρας καὶ νυκτός, ἀπὸ δ' Ἰβηρίας μιᾶς ἡμέρας· κατὰ δὲ τὸ μέγεθος παραπλήσιός ἐστι Κορκύρᾳ κατὰ δὲ τὴν ἀρετὴν οὖσα μετρία τὴν μὲν ἀμπελόφυτον χώραν ὀλίγην ἔχει, τὰς δ' ἐλαίας ἐμπεφυτευμένας ἐν τοῖς κοτίνοις. τῶν δὲ φυομένων ἐν αὐτῇ καλλιστεύειν φασὶ τὴν μαλακότητα τῶν ἐρίων. διειλημμένη δὲ πεδίοις ἀξιολόγοις καὶ γεωλόφοις πόλιν ἔχει τὴν ὀνομαζομένην Ἔβυσον (cod. Ἔρεσον), ἄποικον Καρχηδονίων. ἔχει δὲ καὶ λιμένας ἀξιολόγους καὶ τειχῶν κατασκευὰς εὐμεγέθεις καὶ οἰκιῶν πλῆθος εὖ κατεσκευασμένων, κατοικοῦσι δ' αὐτὴν βάρβαροι παντοδαποί, πλεῖστοι δὲ Φοίνικες. ὁ δ' ἀποικισμὸς αὐτῆς γέγονεν ὕστερον ἔτεσιν ἑκατὸν ἑξήκοντα τῆς κατὰ τὴν Καρχηδόνα κτίσεως.

C. 17. Ἄλλαι δ' ὑπάρχουσι νῆσοι κατ' ἀντικρὺ τῆς Ἰβηρίας, ὑπὸ μὲν τῶν Ἑλλήνων ὀνομαζόμεναι Γυμνήσιαι διὰ τὸ τοὺς ἐνοικοῦντας γυμνοὺς τῆς ἐσθῆτος βιοῦν κατὰ τὴν τοῦ θέρους ὥραν, ὑπὸ δὲ τῶν ἐγχωρίων καὶ τῶν Ῥωμαίων προσαγορεύονται Βαλιαρίδες ἀπὸ τοῦ βάλλειν ταῖς σφενδόναις λίθους μεγάλους κάλλιστα τῶν ἁπάντων ἀνθρώπων. τούτων δ' ἡ μείζων μεγίστη πασῶν ἐστι μετὰ τὰς ἑπτὰ νήσους, Σικελίαν, Σαρδώ, Κύπρον, Κρήτην, Εὔβοιαν, Κύρνον, Λέσβον, ἀπέχει δὲ τῆς Ἰβηρίας πλοῦν ἡμερήσιον· ἡ δ' ἐλάττων κέκλιται μὲν πρὸς τὴν ἕω, τρέφει δὲ κτήνη πολλὰ καὶ παντοδαπά, μάλιστα δ' ἡμιόνους, μεγάλους μὲν τοῖς ἀναστήμασιν, ὑπεράγοντας δὲ ταῖς ῥώμαις. ἀμφότεραι δ' αἱ νῆσοι χώραν ἔχουσιν ἀγαθὴν καρποφόρον καὶ πλῆθος τῶν κατοικούντων ὑπὲρ τοὺς τρισμυρίους, τῶν δὲ πρὸς τὴν τροφὴν γεννημάτων οἶνον μὲν ὁλοσχερῶς οὐ φέρουσιν· διὸ καὶ πάντες εἰσὶν ὑπερβολῇ πρὸς τὸν οἶνον εὐκατάφοροι, διὰ τὸ σπανίζειν παρ' αὐτοῖς· ἐλαίου δὲ παντελῶς σπανίζοντες κατασκευάζουσιν ἐκ τῆς

σχίνου, καὶ μιγνύντες ὑείῳ στέατι τὰ σώματα αὐτῶν ἀλείφουσι τούτῳ. μάλιστα δὲ τῶν ἁπάντων ὄντες φιλογύναι προτιμῶσιν αὐτὰς ἐπὶ τοσοῦτον, ὥστε ὅταν τινὲς γυναῖκες ὑπὸ τῶν προσπλεόντων λῃστῶν ἁλῶσιν, ἀντὶ μιᾶς γυναικὸς τρεῖς ἢ τέτταρας ἄνδρας διδόντες λυτροῦνται. οἰκοῦσι δ' ὑπὸ ταῖς κοιλάσι πέτραις, καὶ παρὰ τοὺς κρημνοὺς ὀρύγματα κατασκευάζοντες καὶ καθόλου πολλοὺς τόπους ὑπονόμους ποιοῦντες ἐν τούτοις βιοῦσιν, ἅμα τὴν ἐξ αὐτῶν σκέπην καὶ ἀσφάλειαν θηρώμενοι. ἀργυρῷ δὲ καὶ χρυσῷ νομίσματι τὸ παράπαν οὐ χρῶνται, καὶ καθόλου ταῦτα εἰσάγειν εἰς τὴν νῆσον κωλύουσιν· αἰτίαν δὲ ταύτην ἐπιφέρουσιν, ὅτι τὸ παλαιὸν Ἡρακλῆς ἐστράτευσεν ἐπὶ Γηρυόνην, ὄντα Χρυσάορος μὲν υἱόν, πλεῖστον δὲ κεκτημένον ἄργυρόν τε καὶ χρυσόν. ἵν' οὖν ἀνεπιβούλευτον ἔχωσι τὴν κτῆσιν, ἀνεπίμικτον ἑαυτοῖς ἐποίησαν τὸν ἐξ ἀργύρου τε καὶ χρυσοῦ πλοῦτον. διόπερ ἀκολούθως ταύτῃ τῇ κρίσει κατὰ τὰς γεγενημένας πάλαι ποτὲ στρατείας παρὰ Καρχηδονίοις τοὺς μισθοὺς οὐκ ἀπεκόμιζον εἰς τὰς πατρίδας, ἀλλ' ὠνούμενοι γυναῖκας καὶ οἶνον ἅπαντα τὸν μισθὸν εἰς ταῦτα κατεχορήγουν.

18. παράδοξον δέ τι καὶ κατὰ τοὺς γάμους νόμιμον παρ' αὐτοῖς ἐστιν. ἐν γὰρ ταῖς κατὰ τοὺς γάμους εὐωχίαις οἰκείων τε καὶ φίλων κατὰ τὴν ἡλικίαν ὁ πρῶτος ἀεὶ καὶ ὁ δεύτερος καὶ οἱ λοιποὶ κατὰ τὸ ἑξῆς μίσγονται ταῖς νύμφαις ἀνὰ μέρος, ἐσχάτου τοῦ νυμφίου τυγχάνοντος ταύτης τῆς τιμῆς. ἴδιον δέ τι ποιοῦσι καὶ παντελῶς ἐξηλλαγμένον περὶ τὰς τῶν τετελευτηκότων ταφάς· συγκόψαντες γὰρ ξύλοις τὰ μέλη τοῦ σώματος εἰς ἀγγεῖον ἐμβάλλουσι καὶ λίθους δαψιλεῖς ἐπιτιθέασιν. ὁπλισμὸς δ' ἐστὶν αὐτοῖς τρεῖς σφενδόναι, καὶ τούτων μίαν μὲν περὶ τὴν κεφαλὴν ἔχουσιν, ἄλλην δὲ περὶ τὴν γαστέρα, τρίτην δ' ἐν ταῖς χερσί. κατὰ δὲ τὰς πολεμικὰς χρείας βάλλουσι λίθους πολὺ μείζους τῶν ἄλλων οὕτως εὐτόνως, ὥστε δοκεῖν τὸ βληθὲν ἀπό τινος καταπέλτου φέρεσθαι. διὸ καὶ κατά τὰς τειχομαχίας ἐν ταῖς προσβολαῖς τύπτοντες τοὺς ἐπὶ τῶν ἐπάλξεων ἐφεστῶτας κατατραυματίζουσιν, ἐν δὲ ταῖς παρατάξεσι τούς τε θυρεοὺς καὶ τὰ κράνη καὶ πᾶν σκεπαστήριον ὅπλον συντρίβουσι. κατὰ δὲ τὴν εὐστοχίαν οὕτως ἀκριβεῖς εἰσιν, ὥστε κατὰ τὸ πλεῖστον μὴ ἁμαρτάνειν τοῦ προκειμένου σκοποῦ· αἴτιαι δὲ τούτων αἱ συνεχεῖς ἐκ παίδων μελέται, καθ' ἃς ὑπὸ τῶν μητέρων ἀναγκάζονται παῖδες ὄντες σφενδονᾶν· προκειμένου γὰρ σκοποῦ κατά τι ξύλον ἠρτημένον ἄρτον οὐ πρότερον δίδοται τῷ μελετῶντι φαγεῖν, ἕως ἂν τυχὼν τοῦ ἄρτου συγχωρούμενον λάβῃ παρὰ τῆς μητρὸς καταφαγεῖν τοῦτον.

A 16. Pityussa (con la terminación focea — οῦσσα) llamaron los navegantes griegos a muchas islas del Mediterráneo, a

causa de los pinos frecuentes en su costa (*pinus maritima*, griego πίτυς; véase Pape s. Πιτυοῦσσα). Así hicieron los Foceos, los descubridores de las costas españolas, con la isla de Ebusus-Ibiza, mientras que la pequeña isla vecina de Formentera fué llamada por ellos a causa de las serpientes Ophiussa, también un nombre muy frecuente (Pape, s. Ὀφιοῦσσα). De Ebusus a las Columnas hay 700 Km. = 4000 estadios (en Timeo 3000), de Ebusus a Africa 260 Km. = 1400 estadios (en Timeo 1000), de Ebusus a la costa española 80 Km. = 440 estadios. Mientras que esta última medida es exacta, las demás son en la realidad exageradas.

En lugar de Ἔρεσος debe escribirse Ἐβοῦσος o Ἔβεσος (así en Dión Casio 43, 29; ver *RE.* s. *Ebusus).*

Puertos. Ibiza sólo tiene uno, el golfo.

Murallas. Ebusus estaba por lo tanto fuertemente fortificada. Restos de las murallas no se conocen, no habiéndose conservado más que la necrópolis (Puig d'es Molins).

Φοίνικες está por Cartagineses. La fecha de la fundación, que se calculaba en 160 años posterior a la de Cartago, Timeo la tomó de una fuente cartaginesa.

A 17. Γυμνήσιαι. El más antiguo nombre de las Baleares, procedente de los navegantes griegos. El nombre indígena, Baliares (comparar con los Balares sardos, *Numantia*, I, 52), se halla por primera vez en la literatura en Polibio. El nombre Gimnesia, esto es «isla de los desnudos», aparece primeramente en el antiguo Periplo (*Fontes*, I, 108: ed. cast., pág. 118), pero no designa las Baleares (que el Periplo no nombra) sino Ibiza, así como la tribu que vive en la costa española de en frente es en el Periplo la de los Gimnetas. El motivo de este empleo general del nombre está claro: el ir desnudos tanto los habitantes de Ibiza como los de las Baleares y los de la costa mencionada. La desnudez de los habitantes es atestiguada por Timeo; γυμνῆτες no significa pues aquí como quiso Hübner (*RE.* II, 2823) «de armas ligeras».

πλοῦν ἡμέρας. Acerca de este dato ver antes.

Mulas. Todavía hoy poseen los Baleares excelentes mulas.

τρισμυρίους. Evidentemente un cálculo muy poco preciso. Hoy el número de los habitantes es de unos 200,000.

οἶνον, ἔλαιον. La falta de vino y aceite es notable, pues ambos existían ya en la costa oriental de España en tiempo del

antiguo Periplo hacia 530 (*Fontes*, I, 111: ed. cast., pág. 121). Parece que las Baleares debieron ser poco visitadas e incluso evitadas por los navegantes griegos, cosa que es chocante dada la avidez para el vino de esos bárbaros. El aceite de trementina se ofrecía al rey persa para su mesa (Hehn, *Kulturpflanzen* 341, en donde falta el pasaje de Timeo). En la otra redacción del pasaje (*De mirab. ausc.*) hay τέρμινθος en lugar de σχῖνος, y claramente es este nombre raro el de Timeo, habiendo sido el nombre de cebollas introducido por Diodoro. Los Celtíberos en lugar de untarse con aceite lo hacían con orines (*Numantia*, I, 190).

κοιλάσι πέτραις. La habitación en las cuevas es una costumbre prehistórica libio-ibérica.

ἀργυρῷ καὶ χρυσῷ νομίσματι. El motivo de la prohibición del oro y de la plata era naturalmente, lo mismo que en Esparta, el temor de la corrupción por la «auri sacra fames».

παρὰ Καρχηδονίοις. Como mercenarios de los Cartagineses aparecen los Baleares por primera vez en 240 a. de J. C. (ver más adelante).

μίσγονται ταῖς νύμφαις. Que la recién casadad ebiese entregarse a los invitados a la boda, se halla también en la misma forma entre los N a s a m o n e s l í b i c o s, según Herodoto 4, 172: πρῶτον δὲ γαμέοντος Νασαμῶνος ἀνδρὸς νόμος ἐστὶ τὴν νύμφην νυκτὶ τῇ πρώτῃ διὰ πάντων διεξελθεῖν τῶν δαιτυμόνων μισγομένην. τῶν δὲ ὡς ἕκαστός οἱ μιχθῇ, διδοῖ δῶρον τὸ ἂν ἔχῃ φερόμενος ἐξ οἴκου.

Esta concordancia es uno de los muchos testimonios de la procedencia líbica de los Iberos, o mejor dicho de la extensión de la raza líbica por todo el Occidente del Mediterráneo (*Numantia*, I, 36 y sig.). Otros datos acerca de la promiscuidad entre los pueblos primitivos en E. Meyer, *Gesch. d. Altert.* I², 2, 24.

περὶ τάς... ταφάς. La costumbre brutal de despedazar a los muertos tiene sus analogías. Los Persas arrojaban los cadáveres a los perros y a las aves de rapiña, haciendo lo propio los Celtíberos (*Numantia*, I, 199); los Ictiófagos los arrojaban al mar para que sirvieran de pasto a los peces (ver E. Meyer, *Gesch. d. Altert.* I², 2, 31).

τρεῖς σφενδόνας. A completar según el otro extracto en Estrabón 168 (pág. 102), en donde se dice que las hondas se hacían de junco negro (probablemente esparto, que todavía hoy se usa para las hondas), de crin o de tendones.

6 a) De mirab. ausc. 88 (Geffcken, 90, 115): ἐν ταῖς Γυμνησίαις ταῖς κειμέναις νήσοις κατὰ τὴν Ἰβηρίαν, ἃς μετὰ τὰς λεγομένας ἑπτὰ μεγίστας λέγουσιν εἶναι, φασὶν ἔλαιον μὴ γίνεσθαι ἐξ ἐλαιῶν, ἐκ δὲ τῆς τερμίνθου κομιδῇ πολὺ καὶ εἰς πάντα ἁρμόττον. λέγουσι δὲ οὕτω τοὺς οἰκοῦντας αὐτὰς Ἴβηρας καταγύνας εἶναι ὥστε ἀντὶ ἑνὸς σώματος θηλυκοῦ διδόναι τοῖς ἐμπόροις τέτταρα καὶ πέντε σώματα ἄρρενα. στρατευόμενοι δὲ παρὰ Καρχηδονίοις τοὺς μισθοὺς ὅταν λάβωσιν, ἄλλο μέν, ὡς ἔοικεν, οὐδὲν ἀγοράζουσι, γυναῖκας δέ. οὐ γὰρ χρυσίον οὐδὲ ἀργύριον ἔξεστι παρ' αὐτοῖς οὐδένα ἔχειν. ἐπιλέγεται δέ τι τοιοῦτον ἐπὶ τῷ κωλύειν χρήματα εἰσάγειν αὐτούς, ὅτι τὴν στρατείαν Ἡρακλῆς ἐποιήσατο ἐπὶ τὴν Ἰβηρίαν διὰ τοὺς τῶν ἐνοικούντων πλούτους.

6 b) Estrab. 168: σφενδόνας δὲ περὶ τῇ κεφαλῇ τρεῖς μελαγκρανίνας ἢ τριχίνας ἢ νευρίνας, τὴν μὲν μακρόκωλον πρὸς τὰς μακροβολίας, τὴν δὲ βραχύκωλον πρὸς τὰς ἐν βραχεῖ βολάς, τὴν δὲ μέσην πρὸς τὰς μέσας. ἠσκοῦντο δ' ἐκ παίδων οὕτως ταῖς σφενδόναις ὥστ' οὐδ' ἄλλως τοῖς παισὶν ἄρτον ἐδίδοσαν ἄνευ τοῦ τῇ σφενδόνῃ τυχεῖν.

6 c) Licofrón, Alex. 633:

οἱ δ' ἀμφικλύστους χοιράδας Γυμνησίας
σισυρνοδῦται καρκίνοι πεπλωκότες
ἄχλαινον ἀμπρεύσουσι νήλιποι βίον
τριπλαῖς δικώλοις σφενδόναις ὡπλισμένοι.
ὧν αἱ τεκοῦσαι τὴν ἑκηβόλον τέχνην
ἄδορπα παιδεύσουσι νηπίους γονάς.
οὐ γάρ τις αὐτῶν ψίσεται πύρνον γνάθῳ
πρὶν ἂν κρατήσῃ ναστὸν εὐστόχῳ λίθῳ
ὑπὲρ τράφηκος σῆμα κείμενον σκοποῦ.
καὶ τοὶ μὲν ἀκτὰς ἐμβατήσονται λεπράς
Ἰβηροβόσκου ἄγχι Ταρτησοῦ πύλης.

Se trata de los Griegos que se pretendía que fueron arrojados desde Troya a las Baleares. κάρκινοι, cangrejos, son llamados a causa de la semejanza de los barcos de remo con cangrejos, σισυρνοδῦται porque los náufragos, perdidas sus vestiduras, ἄχλαινοι, se pusieron la σίσυρα balear, o sea el manto líbico hecho de piel de cabra, que todavía subsiste en la *mastruca* sarda (*Numantia*, I, 46).

τριπλαῖς σφενδόναις, v. pág.

δίκωλος porque la honda tiene dos ramales en cuyo centro se coloca la piedra (ver Estrab. 168 βραχύκωλος).

6 d) Floro, I, 43, 5: *tribus quisque fundis proeliantur... cibum puer a matre non accipit nisi quem ipsa monstrante percusserit.*

6 e) Escol. Licofrón, 633: οἱ δ' ἀμφικλύστους], νῆσοί εἰσι περὶ τὴν Τυρσηνίαν. μέμνηται δὲ αὐτῶν καὶ Ἀρτεμίδωρος. Τίμαιος δέ φησιν εἰς ταύτας τὰς νήσους ἐλθεῖν τινας τῶν Βοιωτῶν. ἃς νήσους Χοιράδας εἶπε. Φιλτέας δὲ ἐν τρίτῳ Ναξιακῶν Βαλεαρίδας φησὶν αὐτὰς ὕστερον ὀνομασθῆναι. εἰσὶ δὲ οἱ ἐν αὐταῖς κατοικοῦντες ἄριστοι σφενδονῆται. αἱ γὰρ μητέρες αὐτῶν τιθέασιν ἐπὶ ξύλου εἰς ὕψος τὸν ἄρτον καὶ οὐ πρότερον διδόασι φαγεῖν πρὶν καταβαλεῖν τὸν ἄρτον.

Que Timeo haya llamado a los Baleares Χοιράδες sólo aparece aquí, faltando en los demás pasajes; Χοιράδες se encuentra como nombre propio (Pape, *Wörterbuch der griechischen Eigennamen*).

6 f) Estrabón, 654: τινὲς δὲ μετὰ τὴν ἐκ Τροίας ἄφοδον τὰς Γυμνησίας νήσους ὑπ' αὐτῶν (los Rodios) κτισθῆναι λέγουσιν. ὧν τὴν μείζω φησὶ Τίμαιος μεγίστην εἶναι μετὰ τὰς ἑπτά, Σαρδώ, Σικελίαν, etc.

7) De mirab. ausc. 85: ἐκ τῆς Ἰταλίας φασὶν ἕως τῆς Κελτικῆς καὶ Κελτολιγύων καὶ Ἰβήρων εἶναί τινα ὁδὸν Ἡράκλειαν καλουμένην, δι' ἧς ἐάν τε Ἕλλην ἐάν τε ἐγχώριός τις πορεύηται, τηρεῖσθαι ὑπὸ τῶν παροικούντων, ὅπως μηδὲν ἀδικηθῇ· τὴν γὰρ ζημίαν ἐκτίνειν καθ' οὓς ἂν γένηται τὸ ἀδίκημα.

La denominación camino de Herakles procede de los Foceos (así mismo la de «Columnas de Heracles», pero la vía comercial debe ser mucho más antigua (*Tartessos*, 28). Con ella se correspondía luego la vía de la costa a través del «Coll de Perthus». La actitud amistosa de las tribus ligures e ibéricas, por

otra parte tan salvajes, respecto de los mercaderes, se explica por el interés que tenían de cambiar sus productos naturales por las mercancías extranjeras.

La Céltica es la llanura del Po, Celtoligios son los habitantes de la Provenza entre los Alpes y los Pirineos, originariamente Ligures (e Iberos) y luego en parte expulsados por los Celtas y Galos, y en parte mezclados con ellos. Iberia comienza en tiempo de Timeo en los Pirineos.

8) De mirab. ausc. 87: ἐν τῇ Ἰβηρίᾳ λέγουσι τῶν δρυμῶν ἐμπρησθέντων ὑπό τινων ποιμένων καὶ τῆς γῆς διαθερμανθείσης ὑπὸ τῆς ὕλης, φανερῶς ἀργύρῳ ῥεῦσαι τὴν χώραν καὶ μετὰ χρόνον σεισμῶν ἐπιγενομένων καὶ τῶν τόπων ῥαγέντων πάμπληθες συναχθῆναι ἀργύριον, ὃ δὴ καὶ τοῖς Μασσαλιώταις πρόσοδον ἐποίησεν οὐ τὴν τυχοῦσαν.

Este relato se halla también en Posidonio (= Diodoro 5, 35, 3; Estrab. 147; Ateneo, VI, 233 *e)*, y procede de Timeo (Geffcken 95). La circunstancia de que la explotación de los tesoros argentíferos se atribuye a los Massaliotas y no a los Cartagineses, que hacia 240 reconquistaron sus posesiones españolas perdidas hacia 300 a. de J. C. (pág. 71; *Tartessos*, 47), denota un autor que escribió antes de 240 a. de J. C.

9) Acaso también procede de Timeo (a través de Varrón: ver Geffcken 81) la narración de Silio 3, 420 y sig. de que Pirene, hija de Bébrix, quedó encinta de Heracles y fué devorada por las fieras en el monte que recibió de ella el nombre de «Pirene». Acerca de hijos de Heracles de mujeres ibéricas o célticas, ver en otro lugar de este fascículo.

10) Diodoro 4, 56, 3: ἀναπλεύσαντας γὰρ αὐτοὺς διὰ τοῦ Τανάιδος ποταμοῦ ἐπὶ τὰς πηγὰς καὶ κατὰ τόπον τινὰ τὴν ναῦν διελκύσαντας καθ' ἑτέρου πάλιν ποταμοῦ τὴν ῥύσιν ἔχοντος εἰς τὸν ὠκεανὸν καταπλεῦσαι πρὸς τὴν θάλατταν, ἀπὸ δὲ τῶν ἄρκτων ἐπὶ τὴν δύσιν κομισθῆναι τὴν γῆν ἔχοντας ἐξ εὐωνύμων καὶ πλησίον γινομένους Γαδείρων εἰς τὴν καθ' ἡμᾶς θάλατταν εἰσπλεῦσαι.

Viaje de los Argonautas por el Océano. Según Timeo que se

cita anteriormente. El río que desemboca en los parajes septentrionales, es el Rhin o el Elba. El viaje de los Argonautas a lo largo de la costa del Océano hacia las Columnas, es una expresión mitográfica de los viajes de los Tartesios o de los Cartagineses al Norte en busca del ámbar (*Tartessos*, 34, 65).

11) Plutarco, *De plac. philos.* 897 C: Τίμαιος τοὺς ἐμβάλλοντας ποταμοὺς διὰ τῆς Κελτικῆς ὀρεινῆς αἰτιᾶται προωθοῦντας μὲν ταῖς ἐφόδοις καὶ πλήμμυραν ποιοῦντας ὑφέλκοντας δὲ ταῖς ἀναπαύλαις καὶ ἀμπώτιδας κατασκευάζοντας.

Acaso quiere significar Timeo en esta explicación de la marea, con «Keltiké», la Meseta española, que antes había sido ocupada por los Celtas, ya que el concepto del Océano Atlántico no comprendía entonces todavía la Galia (*Numantia*, I, 96).

12) Diodoro 5, 6, 1: Φίλιστος μὲν γάρ φησιν ἐξ Ἰβηρίας αὐτοὺς (los Sicanos) ἀποικισθέντας κατοικῆσαι τὴν νῆσον ἀπό τινος Σικανοῦ ποταμοῦ κατ' Ἰβηρίαν ὄντος τετευχότας ταύτης τῆς προσηγορίας, Τίμαιος δὲ τὴν ἄγνοιαν τούτου τοῦ συγγραφέως ἐλέγξας ἀκριβῶς ἀποφαίνεται τούτους αὐτόχθονας εἶναι.

Ver pág. 36

262 a. J. C.

Polibio 1, 17, 4 (262 a. de J. C.): διὸ καὶ ξενολογήσαντες ἐκ τῆς ἀντιπέρας χώρας πολλοὺς μὲν Λιγυστίνους καὶ Κελτοὺς ἔτι δὲ πλείους τούτων Ἴβηρας ἅπαντας εἰς τὴν Σικελίαν ἀπέστειλαν.

Que los Cartagineses, a pesar de haber perdido antes de 300 el dominio de España (*Tartessos* 47; antes pág. 71), se hallaban en situación de reclutar mercenarios ibéricos, no es de extrañar porque los Iberos eran belicosos y ávidos de botín. Los Cartagineses reclutan más Iberos que Galos porque los Iberos son mejores soldados que los Galos, como se demuestra repetidas veces en las campañas de Haníbal.

Licofrón (hacia 260 a. de J. C.)
Alexandra (ed. Scheer)

633 y sig., procedente de Timeo (ver Timeo, p. 102).

Filón (250 a. de J. C.)

μηχανικὴ σύνταξις, libros IV-V (ed. R. Schoene, 1891)

c. 46... ὤφθη γὰρ ἡ τῶν προειρημένων λεπίδων ἐργασία διὰ τῶν Κελτικῶν καὶ Ἱσπανῶν καλουμένων μαχαιρῶν. Ταύτας γὰρ ὅταν βούλωνται δοκιμάζειν, εἰ χρησταί εἰσιν, ἐπιλαβόμενοι τῇ μὲν δεξιᾷ χειρὶ τῆς λαβῆς, τῇ δὲ ἄλλῃ τοῦ ἄκρου τῆς μαχαίρας καὶ ἐπὶ τὴν κεφαλὴν θέντες πλαγίαν αὐτὴν κατάγουσιν ἐξ ἑκατέρου μέρους ἕως ἂν τῶν ὤμων ἅψωνται, μετὰ δὲ ταῦτα ἀνῆκαν ὀξέως ἐπάραντες ἀμφοτέρας τὰς χεῖρας. ἡ δὲ ἀφεθεῖσα ἀπορθοῦται πάλιν καὶ οὕτως ἐπὶ τὸν ἐξ ἀρχῆς ῥυθμὸν ἀποκαθίσταται ὥστε μηδεμίαν ἔννοιαν καμπῆς ἔχειν. καὶ ταῦτα πλεονάκις ποιούντων ὀρθαὶ διαμένουσιν. ἐξητάζετο οὖν, τίς ἐστιν ἡ αἰτία δι' ἣν κατευτονεῖν οὕτως συμβαίνει τὰς μαχαίρας ταύτας. ζητοῦντες δὲ ηὕρισκον πρῶτον μὲν τὸν σίδηρον καθαρὸν ὑπάρχοντα καθ' ὑπερβολήν, εἶτα εἰργασμένον ἐκ πυρὸς οὕτως ὥστε μήτε διπλόην μήτ' ἄλλο σίνος ἐν αὐτῷ μηδὲν ὑπάρχειν, ὄντα δὲ καὶ τὸν σίδηρον τῷ γένει μήτε κατάσκληρον λίαν μήτε μαλακὸν μέσον δέ τινα, μετὰ δὲ ταῦτα κεκροτημένας ψυχρὰς αὐτὰς νεανικῶς ὑπάρχειν. τουτὶ γὰρ εἶναι τὸ τὴν εὐτονίαν ποιοῦν. κροτεῖσθαι μέντοι μὴ μεγάλαις σφύραις μήτε ἰσχυραῖς πληγαῖς. τὴν γὰρ βίαιον καὶ πλαγίαν πληγὴν τόν τε ῥυθμὸν διαστρέφειν καὶ κατὰ βάθος ἱκνουμένην ἀποσκληρύνειν λίαν, ὥστε τὰς οὕτω κεκροτημένας, εἴ τις ἐπιβάλλοιτο κάμπτειν, ἤτοι μὴ ἐνδιδόναι τὸ παράπαν ἢ βιασθείσας συντρίβεσθαι διὰ τὸ πάντα τὸν τόπον τὸν πυκνωθέντα ὑπὸ τῆς πληγῆς πυκνὸν ὑπάρχειν. αἱ μὲν οὖν πυρώσεις τόν τε σίδηρον καὶ χαλκὸν μαλακύνουσιν ἀραιουμένων τῶν σωμάτων, ὥς φασιν, αἱ δὲ ψύξεις καὶ κροτήσεις σκληρύνουσιν. ἀμφότερα γὰρ αἴτια γίνεται τοῦ πυκνοῦσθαι τὰ σώματα συντρεχόντων τῶν μορίων πρὸς ἄλληλα καὶ τῆς τοῦ κενοῦ περιπλοκῆς αἱρομένης. ἐκροτοῦμεν οὖν ψυχρὰς τὰς λεπίδας κατὰ ἀμφότερα τὰ μέρη καὶ οὕτως τὰς ἐπιφανείας αὐτῶν συνέβαινε σκληρὰς

γίνεσθαι, τὸ δὲ μέσον διαμένειν μαλακὸν διὰ τὸ μὴ δικνεῖσθαι τὴν πληγὴν κατὰ βάθος ἐλαφρὰν οὖσαν. καθάπερ οὖν ἐκ τριῶν σωμάτων ἐγίνοντο συγκείμεναι, δύο μὲν σκληρῶν ἑνὸς δὲ τοῦ μέσου μαλακωτέρου, διὸ καὶ τὴν εὐτονίαν αὐταῖς συνέβαινεν ὑπάρχειν καθὼς ἀνώτερον ἀπεδείχθη.

Las espadas encontradas en Numancia ofrecen en realidad tres capas: las dos exteriores duras y una intermedia blanda. Ver también Blümner, *Technologie*, IV, 349. Otros testimonios de la excelencia de las espadas ibéricas en la p. 168 y *Numantia* I, 209.

Hacia 250 a. de J. C.

Ateneo 5, 206 F: εἰς δὲ σχοινία λευκέαν ἐξ Ἰβηρίας.

Barcos lujosos de Hierón II (270-215 a. de J.). Esparto para sogas aparece ya en el año 480 (antes pág. 23) y es posible que ya entonces viniera de España. Hierón seguramente lo obtenía de los Cartagineses, quienes, a pesar de haber perdido el dominio político sobre el S. de España (antes pág. 71) seguramente seguían comerciando allí.

Teodóridas (hacia 250 a. de J. C.)

Ateneo 7, 302 C: καὶ Θεοδωρίδας δέ φησι „θύννοι τε διοιστρήσοντι Γαδείρων δρόμον."

Ver antes pág. 42 sig.

240 a. de J. C.

Polibio 1, 67, 7: ἦσαν γὰρ οἱ μὲν Ἴβηρες, οἱ δὲ Κελτοί, τινὲς δὲ Λιγυστῖνοι καὶ Βαλιαρεῖς, οὐκ ὀλίγοι δὲ μιξέλληνες...

Diodoro 25, 2, 2: ὑπῆρχον γὰρ οἱ μετὰ Καρχηδονίων στρατευσάμενοι Ἴβηρες, Κελτοί, Βαλιαρεῖς, Λιβυφοίνικες, Λιγυστῖνοι καὶ μιξέλληνες δοῦλοι· οἳ καὶ ἐστασίασαν.

Se trata de los mercenarios cartagineses que se sublevaron después del final desastroso de la primera guerra púnica: en el año 240, la «guerra de los mercenarios». Ver Veith en Kromayer, *Antike Schlachtfelder* III, 2.

Las noticias acerca de las guerras españolas desde 237

(llegada de Hamílcar a España) hasta César constituyen el fascículo III de las FONTES.

Eratóstenes (280 aprox. - 195 a. de J. C.)

γεωγραφικά (ed. Berger, *Die geographischen Fragmente des Eratosthenes*, 1880, pág. 363; ver Knaack, *RE*, VI, 366 y sig.)

Eratóstenes siguió a P i t e a s en la descripción de los países occidentales, comprendiendo acertadamente que él fué el único que investigó el mundo oceánico después de su clausura en 500. Eratóstenes utiliza además a Timóstenes (antes pág. 91). Otras fuentes antiguas no fueron aprovechadas: Homero fué rechazado como fuente para el Occidente, habiendo concedido crédito a Hesiodo sólo para Italia y Sicilia (Estrabón 23).

1) Estrabón, 93: καὶ νῦν δ' εἰρήσθω, ὅτι καὶ Τιμοσθένης καὶ Ἐ ρ α τ ο σ θ έ ν η ς καὶ οἱ ἔτι τούτων πρότεροι τελέως ἠγνόουν τά τε Ἰ β η ρ ι κ ὰ καὶ τὰ Κελτικά, μυρίῳ δὲ μᾶλλον τὰ Γερμανικὰ καὶ τὰ Βρεττανικά...

2) Estrabón, 104: τὸν δ' Ἐρατοσθένη διαπορήσαντα εἰ χρὴ πιστεύειν τούτοις (la relación de Piteas) ὅμως περί τε τῆς Βρεττανικῆς πεπιστευκέναι καὶ τῶν κατὰ Γ ά δ ε ι ρ α καὶ τὴν Ἰ β η ρ ί α ν... Ἐ ρ α τ ο σ θ έ ν ο υ ς δὲ εἴρηται ἡ περὶ τὰ ἑσπέρια καὶ τὰ ἀρκτικὰ τῆς Εὐρώπης ἄγνοια.

3) Estrabón, 97: προπεπτωκυίας δὲ τῆς Εὐρώπης ἄκραις πλείοσι βέλτιον μὲν οὗτος (Πολύβιος) εἴρηκεν περὶ αὐτῶν Ἐ ρ α τ ο σ θ έ ν ο υ ς οὔπω δὲ ἱκανῶς. ἐκεῖνος μὲν γὰρ τρεῖς ἔφη, τὴν ἐπὶ τὰς Στήλας καθήκουσαν, ἐφ' ἧς ἡ Ἰ β η ρ ί α... (sigue Italia y la Península balcánica).

4) Estrabón, 92: ὅτι φησὶ (E.) τρεῖς ἄκρας ἀπὸ τῶν ἄρκτων καθήκειν μίαν μέν, ἐφ' ἧς ἡ Πελοπόννησος, δευτέραν δὲ τὴν Ἰταλικήν, τρίτην δὲ τὴν Λιγυστικήν...

Eratóstenes llamó a la península pirenaica Λιγυστική, seguramente tan sólo por haber considerado Hesiodo (Fontes I, 131 = ed. cast. pág. 163), a los Ligures como el pueblo principal de Occidente (todavía no lo eran los Celtas). De la población indígena ligura de España Eratóstenes no debía tener conocimiento. Realmente España parece haber sido un día toda ligura y haberse conservado en ella restos de los Ligures entre los Celtas y los Iberos (*Numantia* I, 60 y sig.)

5) Estrabón, 107: πάλιν δὲ τοῦτο μὲν ὀρθῶς ἀποφαίνεται (Polibio) ὅτι ἀγνοεῖ τὰ Ἰβηρικὰ ὁ Ἐρατοσθένης καὶ διότι περὶ αὐτῆς ἔσθ' ὅπου τὰ μαχόμενα ἀποφαίνεται, ὅς γε μέχρι Γαδείρων ὑπὸ Γαλατῶν περιοικεῖσθαι φήσας [τὰ] ἔξωθεν αὐτῆς, εἴ γε τὰ πρὸς δύσιν τῆς Εὐρώπης μέχρι Γαδείρων. ἔχουσιν ἐκεῖνοι, τούτων ἐκλαθόμενος κατὰ τὴν τῆς Ἰβηρίας περίοδον τῶν Γαλατῶν οὐδαμοῦ μέμνηται.

Polibio acusa injustamente a Eratóstenes de contradicción consigo mismo. Eratóstenes tenía razón por completo al mencionar Celtas en la costa oceánica occidental, mientras que sólo citaba Iberos en la periégesis que comenzaba en las Columnas, pues en las costas meridionales y orientales de España sólo vivían Iberos. El testimonio de Eratóstenes es importante porque demuestra que, a pesar del empuje de los Iberos desde la costa oriental hacia el interior y la costa del W. (en donde los Lusitanos constituyen una tribu netamente ibérica), en la costa occidental se mantienen todavía los Celtas. (ver *Numantia* I, 109). Gades, como límite meridional de los Celtas, también en Eforo (antes pág. 55).

6) Estrabón, 64: δεῖν δὲ ἔτι προσθεῖναι (a la longitud de la tierra) τὸ ἐκτὸς Ἡρακλείων στηλῶν κύρτωμα τῆς Εὐρώπης. ἀντικείμενον μὲν τοῖς Ἴβηρσι προπεπτωκὸς δὲ πρὸς τὴν ἑσπέραν οὐκ ἔλαττον σταδίων τρισχιλίων, etc.

De la designación de la costa occidental como ἀντικείμενον

τοῖς Ἴβηρσι podría concluirse que Eratóstenes limitaba el nombre de los I b e r o s sólo a la costa oriental, no llamando Iberia a toda la península. Pero del núm. 7 parece deducirse que Eratóstenes, lo mismo que Piteas (antes pág. 79), conoció ya el nombre de conjunto «Iberia», usando esta denominación en dos sentidos, uno amplio y otro estricto (como hace el Periplo con los Tartesios: ver *Tartessos* pág. 72).

La limitación del nombre del pueblo a la costa del E. se explica puesto que Eratóstenes conocía por Piteas sólo la costa, no el interior en donde desde el siglo IV también había Iberos, pero que sólo fué bien conocido a través de los Romanos, con la sumisión de las tribus de la meseta.

Acerca de los 3000 estadios, ver Piteas (antes, pág. 80).

Siguiendo a Piteas, Eratóstenes da una imagen acertada de la costa occidental de la peninsula, con el cabo Roca como punto avanzado más occidental, del golfo de Vizcaya, de la costa gala occidental con el saliente de la Bretaña, mientras que la estulticia de los que le siguieron, Polibio, etc.. no creyendo a Piteas, hizo volverla a imaginar como continua y recta (Berger, *Erdkunde* 162, 213, 217).

7) Estrabón, 148: καὶ Ἐρατοσθένης δὲ τὴν συνεχῆ τῇ Κάλπῃ Ταρτησσίδα καλεῖσθαί φησι καὶ Ἐρύθειαν νῆσον εὐδαίμονα. πρὸς ὃν Ἀρτεμίδωρος ἀντιλέγων καὶ ταῦτα ψευδῶς λέγεσθαί φησι ὑπ' αὐτοῦ, καθάπερ καὶ τὸ ἀπὸ Γαδείρων ἐπὶ τὸ Ἱερὸν ἀκρωτήριον διάστημα ἀπέχειν ἡμερῶν πέντε πλοῦν οὐ πλειόνων ὄντων ἢ χιλίων καὶ ἑπτακοσίων σταδίων καὶ τὸ τὰς ἀμπώτεις μέχρι δεῦρο περατοῦσθαι ἀντὶ τοῦ κύκλῳ περὶ πᾶσαν τὴν οἰκουμένην συμβαίνειν καὶ τὸ τὰ προσαρκτικὰ μέρη τῆς Ἰβηρίας εὐπαροδώτερα εἶναι πρὸς τὴν Κελτικὴν [ἢ] κατὰ τὸν ὠκεανὸν πλέουσι καὶ ὅσα δὴ ἄλλα εἴρηκε Πυθέᾳ πιστεύσας δι' ἀλαζονείαν.

Para la explicación de este pasaje ver antes, pág. 78 (bajo Piteas).

De τὰ προσαρκτικὰ μέρη τῆς Ἰβηρίας parece deducirse que Eratóstenes, por I b e r i a , no sólo entendía las costas del S. y del E., sino t o d a l a p e n í n s u l a (ver antes).

8) Esteban de Biz., sub Γάδειρα...: Ἐρατοσθένης δὲ „ἡ Γάδειρος" φησὶ θηλυκῶς.

Ver Eust. a Dionisio 65 y 451: ἡ Γάδειρος θηλυκῶς.

9) Estrabón, 170: ἔνιοι δὲ Στήλας ὑπέλαβον τὴν Κάλπην καὶ τὴν Ἀβίλυκα, τὸ ἀντικείμενον ὄρος τῆς Λιβύης, ὅ φησιν Ἐρατοσθένης ἐν τῷ Μεταγωνίῳ νομαδικῷ ἔθνει ἱδρῦσθαι, οἱ δὲ τὰς πλησίον ἑκατέρου νησῖδας... καὶ Δικαίαρχος δὲ καὶ Ἐρατοσθένης καὶ Πολύβιος καὶ οἱ πλεῖστοι τῶν Ἑλλήνων περὶ τὸν πορθμὸν ἀποφαίνουσι τὰς Στήλας, οἱ δὲ Ἴβηρες καὶ Λίβυες ἐν Γαδείροις εἶναί φασιν... οἱ δὲ τὰς ἐν τῷ Ἡρακλείῳ τῷ ἐν Γαδείροις χαλκᾶς ὀκταπήχεις... ταύτας λέγεσθαί φασιν (así Posidonio).

Contra el error, atestiguado por primera vez por Euctemón, de que las Columnas fuesen las dos islitas en la ruta de Gibraltar (antes, pág. 32) y contra el peor todavía, que las identificaba con las columnas de bronce del templo de Heracles en Gades, Eratóstenes mantiene la opinión justa más antigua de que las Columnas son Abila y Calpe, que ya tenía el Periplo (*Fontes* I, 63: ed. cast., pág. 67).

10) Estrabón, 67: ἐν δὲ τῷ τρίτῳ τῶν Γεωγραφικῶν καθιστάμενος τὴν τῆς οἰκουμένης πίνακα γραμμῇ τινι διαιρεῖ δίχα ἀπὸ δύσεως ἐπ' ἀνατολὴν παραλλήλῳ τῇ ἰσημερινῇ γραμμῇ, πέρατα δ' αὐτῆς τίθησι πρὸς δύσει μὲν τὰς Ἡρακλείους στήλας...

Eratóstenes sostiene que las Columnas son el límite occidental del Ecumeno, aunque extiende la costa meridional más allá de ellas, por el W. hasta el cabo Roca (ver fr. 6).

11) Estrabón, 49: „. φέρει (Eratóstenes) δ' αἰτίαν (de la formación reciente del estrecho de Gibraltar) πρῶτον μὲν ὅτι τῆς ἔξω θαλάττης καὶ τῆς ἐντὸς τοὔδαφος ἕτερόν ἐστιν, ἔπειθ' ὅτι καὶ νῦν ἔτι ταινία τις ὕφαλος διατέτακεν ἀπὸ τῆς Εὐρώπης ἐπὶ τὴν Λιβύην, ὡς ἂν μιᾶς οὔσης πρότερον τῆς τε ἐντὸς καὶ τῆς ἐκτός.

Otros testimonios de esta ταινία: *Fontes* I, 100: ed. cast.,

pág. 108). Se quiere significar la meseta submarina situada sólo a 300 m. de profundidad bajo el nivel del mar y que en realidad atestigua una unión anterior.

12) Estrabón, 106: ἀπὸ δὲ Μασσαλίας ἐπὶ Στήλας λέγοντος (Ἐρατοσθένους) ἑπτακισχιλίους, ἀπὸ δὲ Πυρήνης ἑξακισχιλίους αὐτὸς (Polibio) λέγει χεῖρον πλείους... ἐγγυτέρω γὰρ τῆς ἀληθείας ἐκεῖνος (E.) εἴρηκεν.

El cálculo de la longitud (costa oriental) de la península en 6000 estadios se halla también en Posidonio (Estrabón 106, 128, 137) y en Estrabón; hay que referirlo a Piteas que en ella, lo mismo que en la latitud de 5000 estadios, concuerda con el antiguo Periplo, el cual desde los Pirineos hasta Tartessos contaba 7 días, por lo tanto 6 hasta las Columnas (*Fontes* I, 20, 115: ed. cast., pág. 21, 125). De Massalia hasta los Pirineos calculaba Eratóstenes 1000 estadios, por el contrario el Periplo dos días y dos noches o sea 2000 estadios, otros 1500-1600 (*Fontes* I, 122: ed. cast., pág. 134).

13) Estrabón, 159: Ταρράκων ἐστὶ πόλις ἀλίμενος μὲν ἐν κόλπῳ δὲ ἱδρυμένη... Ἐρατοσθένης δὲ καὶ ναύσταθμον ἔχειν φησὶν αὐτὴν οὐδὲ ἀγκυροβολίοις σφόδρα εὐτυχοῦσαν, ὥς ἀντιλέγων εἴρηκεν Ἀρτεμίδωρος.

Después del Periplo (*Fontes* I, 112: ed. cast., pág. 122), Eratóstenes es el primer testimonio para Tarraco. Tarragona no tiene puerto natural, sino tan sólo una rada bastante desprotegida, expuesta a rellenarse con los arrastres del río Francolí.

14) Estrabón, 802: φησὶ δ' Ἐρατοσθένης... Καρχηδονίους δὲ καταποντοῦν εἴ τις τῶν ξένων εἰς Σαρδὼ παραπλεύσειεν ἢ ἐπὶ Στήλας. διὰ δὲ ταῦτ' ἀπιστεῖσθαι τὰ πολλὰ τῶν ἑσπερίων.

Se ha dudado de que los Cartagineses, todavía en el tiempo de Eratóstenes, después de la primera guerra púnica, se hubiesen encontrado en situación de impedir la navegación

más allá de las Columas de Héracles, suponiendo que Eratóstenes hubiese tomado el pasaje de su fuente Timóstenes, de manera que debería retrotraerse la noticia a 280 (Wagner, *Timosthenes*, Dissert. Leipzig 1888, pág. 14). Pero Eratóstenes podía saber como estaban las cosas en su época y además con la primera guerra púnica los Cartagineses no habían perdido de ninguna manera el dominio del mar de España. Por el contrario, en la época de Eratóstenes, Hamílcar volvía precisamente a restablecer sus dominios españoles. El pasaje demuestra al propio tiempo que ya en la época de Eratóstenes y antes de ella (Dicearco) se habían rechazado a menudo los resultados de las investigaciones de Piteas, mientras que él los aceptó.

15) Estrabón, 64: ... κατὰ φύσιν φησὶν (Eratóstenes) εἶναι ἀπὸ τῆς ἕω πρὸς τὴν ἑσπέραν μακροτέραν εἶναι τὴν οἰκουμένην... ὥστ', εἰ μὴ τὸ μέγεθος τοῦ Ἀτλαντικοῦ πελάγους ἐκώλυε, κἂν πλεῖν ἡμᾶς ἐκ τῆς Ἰβηρίας εἰς τὴν Ἰνδικὴν διὰ τοῦ αὐτοῦ παραλλήλου, τὸ λοιπὸν μέρος παρὰ τὸ λεχθὲν διάστημα ὑπὲρ τὸ τρίτον μέρος ὂν τοῦ ὅλου κύκλου.

En este error de Eratóstenes, exagerando la longitud (E.-W.) del Ecumeno (250,000) y apreciando en menos la distancia España-India (unos 78,000), error que pasó al mapa de Ptolomeo, se funda el atrevimiento de Colón. En realidad la distancia de España a la India no es de 1/3 sino casi de 2/3 de la longitud total de la tierra. El conocimiento de la verdadera distancia hubiera seguramente apartado a Colón de su intento ¡Un error fecundo en resultados!

Euforión (hacia 230 a. de J. C.)
(ed. Scheidweiler, *Euphor. Fragmenta*, Diss. Bonn, 1908; ver *RE*).

1) Escol. de Dionis. el Perieg. 64: αὗται δὲ (las Columnas) πρότερον Κρόνου ἐλέγοντο στῆλαι διὰ τὸ μέχρι τῶν τῇδε ὁρίζεσθαι δῆθεν τὴν ἀρχὴν αὐτοῦ, δεύτερον δὲ ἐλέχθησαν Βριάρεω, ὥς φησιν Εὐφορίων, τρίτον δὲ Ἡρακλέους.

El nombre Βριάρεω στῆλαι por primera vez en Aristóteles (antes, pág. 75).

2) Eust. a Dionis. Perieg. 558: ,,χαλκείῃ ἀκάτῳ βουπληθέος ἐξ Ἐρυθείης" ὥς ὁ Εὐφορίων λέγεται ἱστορεῖν.

Sobre Eritia ver antes, pág. 10.

Sileno (hacia 220 a. de J. C.)

Historia de Haníbal (ed. *FHG*. III, 100; ver Rosenberg, *Quellenkunde*, 186)

1) Plinio, N. H. 4, 120: sobre la isla S. Sebastián al W. de Gades (ver Éforo, antes, pág. 59): *...in qua prius oppidum Gadium fuit. vocatur ab Ephoro et Philistide Erythia, a Timaeo et Sileno Aphrodisias, ab indigenis Junonis.*

La denominación de la isla S. Sebastián, según Afrodita se corresponde con la indicación del antiguo Periplo, de que en la isla había un santuario de Venus marina (*Fontes*, I, 98: ed. cast., pág. 106); ver también antes, pág. 95.

2) Estrabón, 172: φησὶ δὲ ὁ Πολύβιος κρήνην ἐν τῷ Ἡρακλείῳ τῷ ἐν Γαδείροις εἶναι, βαθμῶν ὀλίγων κατάβασιν ἔχουσαν εἰς τὸ ὕδωρ, πότιμον. ἣν ταῖς παλιρροίαις τῆς θαλάσσης ἀντιπαθεῖν, κατὰ μὲν τὰς πλήμας ἐκλείπουσαν κατὰ δὲ τὰς ἀμπώτεις πληρουμένην... Ἀρτεμίδωρος δὲ ἀντειπὼν τούτῳ καὶ ἅμα παρ' αὑτοῦ τινα θεὶς αἰτίαν, μνησθεὶς δὲ καὶ τῆς Σιληνοῦ (cod. Σιλανοῦ) δόξης τοῦ συγγραφέως οὔ μοι δοκεῖ μνήμης ἄξια εἰπεῖν, ὡς ἂν ἰδιώτης περὶ ταῦτα καὶ αὐτὸς καὶ Σιληνός (cod. Σιλανός). Ποσειδώνιος δὲ ψευδῆ λέγων τὴν ἱστορίαν...

De ambos fragmentos se desprende que Sileno trató la topografía de Gades, habiendo acompañando a Haníbal a Gades antes de la campaña de Italia (Liv. 21, 21, 9).

Sosilo (hacia 222 a. de J. C.)

αἱ περὶ Ἀννίβου πράξεις

El fragmento de Sosilo en el papiro de Würzburg (ed. Wilcken, *Hermes*, 1906, 129 y Bilabel, *Kleine Historikerfragmente*, Bonn, 1923, pág. 29) acerca de la batalla naval junto al Ebro en **217 a.** de J. C. se halla en *Fontes* III.

Q. Fabio Pictor (hacia 220 a. de J. C.)

Polibio 3, 8, 1: Φάβιος δέ φησιν... ἅμα τῷ κατὰ Ζακανθαίους ἀδικήματι καὶ τὴν Ἀσδρούβου πλεονεξίαν καὶ φιλαρχίαν αἰτίαν γένεσθαι τοῦ κατ' Ἀννίβαν πολέμου.

Ver el fascículo III de Fontes.

Ennio (hacia 200 a. de J. C.)

Annales (ed. Vahlen, 2.ª ed.)

1) Anales, 503: *Hispane, non Romane memoretis loqui me.*

Parece referirse a un embajador ibérico, que motivó con ello una franca explicación. Explicaciones altivas de los Iberos aparecen repetidas veces (Livio 40, 47; Apiano Ib. 42; *Num.* I, 252).

2) Anales 508: ... *tergus igitur sagus pinguis opertat.*

3) Anales 509: *sagus caerulus.*

Los más antiguos testimonios del *sagum* entre los Romanos.

4) Anales 544: *quae valide veniunt* [*contorta*] *falarica missa.*

La falarica es el pilum ibérico; el fragmento corresponde por lo tanto al tiempo de las guerras de España, acaso al del sitio de Sagunto, a propósito del cual la falarica es descrita por Livio. Se conocen «pila» ibéricos procedentes de sepulturas de Celtiberia del siglo III (Museos de Barcelona y de Madrid). La enmendación *contorta* (ver mi artículo *Der Ursprung des Pilums* en el *Rheinisches Museum* 1911) se desprende de Virgilio, *Eneida*, 9, 702: *sed magnum stridens contorta falarica*

venit... Ennio ha escrito por lo tanto en el nominativo *falaricum*, en lugar de *falarica*.

5) Anales 253: *deducunt habiles gladios filo gracilento.*

Como que las espadas ibéricas eran célebres por su elasticidad (*Num.* I, 210; ver antes, pág. 108) acaso se trata de ellas. El verso pertenece al libro VII, por lo tanto al tiempo de la segunda guerra púnica o al período entre la primera y la segunda, pudiendo por lo tanto referirse a armamentos ibéricos.

Filarco (hacia 220 a. de J. C.)

(ed. *FHG*. I, LXXVII; 334)

Ateneo 2, 44 c: φησὶ δὲ καὶ [ἐν τῇ ζ'] τοὺς Ἴβηρας πάντας ὑδροποτεῖν καίτοι πλουσιωτάτους ἀνθρώπων ὄντας [κέκτηνται γὰρ ἄργυρον καὶ χρυσὸν πλεῖστον] μονοσιτεῖν τε αὐτοὺς ἀεὶ λέγει διὰ μικρολογίαν ἐσθῆτας δὲ φορεῖν πολυτελεστάτας (= Fragm. 13).

Los pasajes entre paréntesis se han perdido en los manuscritos de Ateneo y pueden intercalarse gracias a Constantino Porfirogeneta, *De administrando imperio* (ver Müller, com. al fragm. 13).

Filarco escribió en 22 libros (ἱστορίαι) la historia de su tiempo desde la muerte de Pirro hasta el 220 a. de J. C. Como que fragmentos de su libro VI se refieren a los Gálatas que penetraron en Asia en 278 y que los fragmentos 14-15 del libro VII se ocupan de la primitiva historia de Cirene, pudo en el libro VII haber tratado de la nueva reunión de Cirene con Egipto en 250 (Niese, *Geschichte der griechischen und makedonischen Staaten*, II, 142). El motivo de nombrarse los Iberos es todavía una cosa oscura, pero Filarco gusta de divagaciones. Acaso se trataba de mercenarios ibéricos. La sobriedad de los Iberos en la comida y en la bebida, cosa que contrasta con las costumbres de los Celtas, se señala varias veces: Justino 44, 2: *corpora hominum ad inediam, animi ad mortem parati..., nullus in festos dies epularum apparatus;* Estrabón 154 (de las tribus del Duero): ψυχρολουτροῦντας καὶ μονοτροφοῦντας καθαρείως καὶ λιτῶς... ἅπαντες δ' οἱ ὄρειοι (Calaicos, Astures, Cántabros) λιτοί, ὑδροπόται, χαμαιεῦναι.

Es notable la concordancia de Estrabón (Posidonio) con Filarco en μονοτροφεῖν y ὑδροποτεῖν; ambos conceptos parecen haber sido, por lo tanto, fijados en una fuente anterior (Éforo, Timeo?) y desde entonces estereotipados.

El lujo en el vestir seguramente existía tan sólo en las regiones del E. y S. influídas por la cultura oriental; también la riqueza en oro y plata es adecuada sólo para estos lugares.

M. Porcio Catón (hacia 195 a. de J. C.)

Los relatos de Catón acerca de sus campañas españolas en el fascículo III de Fontes.

Crates de Mallos (hacia 170 a. de J. C.)

(ver *RE.* XI, 1634)

Crates transportaba los viajes de Odiseo al Océano (ἐξωκεανισμός), en contradicción con Eratóstenes, que los limitaba al Mediterráneo. Crates es seguido por Estrabón. De tal manera Crates refiere las noches cortas de los Lestrigones (*Odisea*, 10, 86) y la larga noche de los Cimerios a las noches de verano y de invierno del Norte, que él conocía por las descripciones de Piteas como existentes en Bretaña (Berger, *Erdkunde*², 445).

C. Acilio (hacia 150 a. de J. C.)

(Peter, *Hist. Rom. Fragm.* p. 34)

Su Historia romana, escrita en griego, era la fuente de Claudio Quadrig. también para las guerras de España (ver Livio, 25, 39, 12 y el fascículo III de Fontes).

L. Casio Hemina (hacia 150 a. de J. C.)

(Peter, *Hist. Rom.* Fragm. 73)

NONIUS s. v. UTRASQUE p. 183: *Hemina historiarum lib. IIII «in Hispania pugnatum bis, utrasque nostri loco moti».*

2.ª guerra púnica, (ver fascículo III de Fontes).

L. Calpurnio Pisón (hacia 133 a. de J. C.)

(Peter, *Hist. Rom.* Fragm. pág. 84)

Liv. 25, 39, 15: *ita nocte ac die bina castra hostium expugnata ductu L. Marcii... Piso quinque milia hominum, cum Mago cedentis nostros effuse sequeretur, caesa ex insidiis scribit.*

Año 212. Relato exagerado. Ver Fontes. fascículo III.

P. Rutilio Rufo (hacia 130 a. de J. C.)

relató en sus Memorías los acontecimientos de la guerra numantina que había presenciado (Apiano. Iber. 88, según Posidonio, quien utilizó a Rutilio) (ver fascículo III de Fontes).

Polibio (200-120 aprox. a. de J. C.)

ἱστορίαι (ver Schulten en *Polybios und Poseidonios über Iberien*, en Hermes 1911, y Cuntz, *Polybios und sein Werk*, 1902)

Polibio describió Iberia sobre todo en el libro 34, como introducción al relato de las guerras celtibéricas y lusitanas (153-133), que ocupaba los siguientes libros. Polibio viajó por España en 133 después de la caída de Numancia y disponía además de los informes de los generales romanos, pertenecientes en su mayoría a la casa de Escipión (Schulten, *lug. cit.* y *Numantia* I, 281). Para el conocimiento de las particularidades, especialmente de la etnografía, la descripción de Polibio constituyó un gran progreso, mientras que su equivocado concepto de la situación geográfica de España fué un atraso respecto de Eratóstenes y de Piteas, que Polibio rechazaba porque no sabía nada de geografía matemática y porque tenía a Piteas por un impostor (3, 37).

Desgraciadamente las descripciones de Iberia por Polibio se han conservado tan sólo en fragmentos, la mayoría en Estrabón. El problema, acerca de hasta qué punto Estrabón utilizó directamente a Polibio junto con sus principales fuentes, Posidonio y Artemidoro, es sumamente difícil de resolver. Como que Polibio dejó seguramente una geografía de Iberia, él entra en consideración a priori al lado de Posidonio. Pero en la mayor parte de los lugares la cita de Polibio aparece contenida en pasajes (en general de polémica) de Posidonio (así en p. 139, 145, 147, 151, 163, 170), por lo tanto hay que suponer que éste fué utilizado directamente por Estrabón como fuente, mientras que Estrabón utilizó sólo indirectamente a Polibio. Por el contrario la descripción de los Lusitanos y Celtiberos se aparta tanto

en Estrabón (154, 162) de la de Posidonio (conservada en Diodoro V) que por fuerza debe proceder de Polibio, aunque probablemente a través de Artemidoro, cuya utilización resulta comprobada para Lusitania (3, 3, 1) y para la Meseta (3, 3, 2: Oretania). También para Galia constituyen Posidonio y Artemidoro las principales fuentes de Estrabón (comprobado por Klotz, *Caesarstudien*). La exacta descripción de Lusitania por Polibio (pág. 151-156, 161-163) está atestiguada por el fragmento en Ateneo, 8, pág. 330, la de Celtiberia por Estrabón, 162.

La descripción de las guerras españolas por Polibio se hallará en el fascículo III de las Fontes.

De Polibio procede sobre todo la relación de las guerras celtibéricas y lusitanas por Apiano (Iber. 44-98; ver *Numantia* 1905). Posidonio sirve aquí de intermediario, refiriéndose a este último la cita de Rutilio en el cap. 88, mientras que Posidonio debe ser utilizado directamente y no por mediación de ninguna fuente latina, porque de lo contrario no se habría conservado la viveza del estilo. Sobre esto ver lo que se dice con más extensión en *Numantia* III (todavía no publicado).

3, 57, 1: Ἡμεῖς δ' ἐπειδὴ καὶ τὴν διήγησιν καὶ τοὺς ἡγεμόνας ἀμφοτέρων καὶ τὸν πόλεμον εἰς Ἰταλίαν ἠγάγομεν, πρὸ τοῦ τῶν ἀγώνων ἄρξασθαι βραχέα βουλόμεθα περὶ τῶν ἁρμοζόντων τῇ πραγματείᾳ διελθεῖν. ἴσως γὰρ δή τινες ἐπιζητήσουσι πῶς πεποιημένοι τὸν πλεῖστον λόγον ὑπὲρ τῶν κατὰ Λιβύην καὶ κατ' Ἰβηρίαν τόπων οὔτε περὶ τοῦ καθ' Ἡρακλείους στήλας στόματος οὐδὲν ἐπὶ πλεῖον εἰρήκαμεν οὔτε περὶ τῆς ἔξω θαλάττης καὶ τῶν ἐν ταύτῃ συμβαινόντων ἰδιωμάτων, οὐδὲ μὴν περὶ τῶν Βρεττανικῶν νήσων καὶ τῆς τοῦ καττιτέρου κατασκευῆς, ἔτι δὲ τῶν ἀργυρείων καὶ χρυσείων τῶν κατ' αὐτὴν Ἰβηρίαν, ὑπὲρ ὧν οἱ συγγραφεῖς ἀμφισβητοῦντες πρὸς ἀλλήλους τὸν πλεῖστον διατίθενται λόγον. ἡμεῖς δ' οὐχὶ νομίζοντες ἀλλότριον εἶναι τοῦτο τὸ μέρος τῆς ἱστορίας διὰ τοῦτο παρελείπομεν, ἀλλὰ πρῶτον μὲν οὐ βουλόμενοι παρ' ἕκαστα διασπᾶν τὴν διήγησιν οὐδ' ἀποπλανᾶν ἀπὸ τῆς πραγματικῆς ὑποθέσεως τοὺς φιληκοοῦντας, δεύτερον δὲ κρίνοντες οὐ διερριμμένην οὐδ' ἐν παρέργῳ ποιήσασθαι τὴν περὶ αὐτῶν μνήμην, ἀλλὰ κατ' ἰδίαν καὶ τόπον καὶ καιρὸν ἀπονείμαντες τῷ μέρει τούτῳ, καθ' ὅσον οἷοί τ' ἐσμέν, τὴν ἀλήθειαν περὶ αὐτῶν ἐξηγήσασθαι.

La descripción relacionada de Iberia y de los países oceáni-

cos a que aquí se refiere la dió Polibio en el libro 34, del que desgraciadamente sólo se han conservado fragmentos. Entre los autores que antes de él habían tratado de las minas ibéricas de oro y de plata, indica Polibio sobre todo a Timeo (ver antes, pág. 94).

3, 59, 3: ἐν δὲ τοῖς καθ' ἡμᾶς τῶν μὲν κατὰ τὴν Ἀσίαν διὰ τὴν Ἀλεξάνδρου δυναστείαν τῶν δὲ λοιπῶν τόπων διὰ τὴν Ῥωμαίων ὑπεροχὴν σχεδὸν ἁπάντων πλωτῶν καὶ πορευτῶν γεγονότων, ἀπολελυμένων δὲ καὶ τῶν πρακτικῶν ἀνδρῶν τῆς περὶ τὰς πολεμικὰς καὶ πολιτικὰς πράξεις φιλοτιμίας, ἐκ δὲ τούτων πολλὰς καὶ μεγάλας ἀφορμὰς εἰληφότων εἰς τὸ πολυπραγμονεῖν καὶ φιλομαθεῖν περὶ τῶν προειρημένων, δέον ἂν εἴη καὶ βέλτιον γινώσκειν καὶ ἀληθινώτερον ὑπὲρ τῶν πρότερον ἀγνοουμένων. ὅπερ ἡμεῖς αὐτοί τε πειρασόμεθα ποιεῖν, λαβόντες ἁρμόζοντα τόπον ἐν τῇ πραγματείᾳ τῷ μέρει τούτῳ, τούς τε φιλοπευστοῦντας ὁλοσχερέστερον βουλησόμεθα συνεπιστῆσαι περὶ τῶν προειρημένων, ἐπειδὴ καὶ τὸ πλεῖον τούτου χάριν ὑπεδεξάμεθα τοὺς κινδύνους τοὺς συμβάντας ἡμῖν ἐν πλάνῃ τῇ κατὰ Λιβύην καὶ κατ' Ἰβηρίαν ἔτι δὲ Γαλατίαν καὶ τὴν ἔξωθεν ταύταις ταῖς χώραις συγκυροῦσαν θάλατταν, ἵνα διορθωσάμενοι τὴν τῶν προγεγονότων ἄγνοιαν ἐν τούτοις γνώριμα ποιήσωμεν τοῖς Ἕλλησι καὶ ταῦτα τὰ μέρη τῆς οἰκουμένης.

Los viajes por el Occidente, de que aquí se alaba Polibio, los emprendió en 148, durante el sitio de Cartago, y en 133, después del sitio de Numancia (Cuntz, *lug. cit.* 50).

3, 37, 9: ἀπὸ δὲ τοῦ Νάρβωνος καὶ τὰ περὶ τοῦτον Κελτοὶ νέμονται μέχρι τῶν προσαγορευομένων Πυρηναίων ὀρῶν, ἃ διατείνει κατὰ τὸ συνεχὲς ἀπὸ τῆς καθ' ἡμᾶς θαλάττης ἕως εἰς τὴν ἐκτός. τὸ δὲ λοιπὸν μέρος τῆς Εὐρώπης ἀπὸ τῶν προειρημένων ὀρῶν, τὸ συνάπτον πρός τε τὰς δύσεις καὶ πρὸς Ἡρακλείους στήλας, περιέχεται μὲν ὑπό τε τῆς καθ' ἡμᾶς καὶ τῆς ἔξω θαλάττης, καλεῖται δὲ τὸ μὲν παρὰ τὴν καθ' ἡμᾶς παρῆκον ἕως Ἡρακλείων στηλῶν Ἰβηρία, τὸ δὲ παρὰ τὴν ἔξω καὶ μεγάλην προσαγορευομένην κοινὴν μὲν ὀνομασίαν οὐκ ἔχει διὰ τὸ προσφάτως κατωπτεῦσθαι, κατοικεῖται δὲ πᾶν ὑπὸ βαρβάρων ἐθνῶν καὶ πολυανθρώπων, ὑπὲρ ὧν ἡμεῖς μετὰ ταῦτα τὸν κατὰ μέρος λόγον ἀποδώσομεν.

Pasaje importante, del que se desprende que todavía para

Polibio el nombre de Iberia significaba tan sólo la costa oriental y no toda la península, aunque ya Piteas y Eratóstenes parecen haber usado dicho nombre en el segundo sentido (ver antes, pág. 79).

3, 39, 2: Καρχηδόνιοι γὰρ ἐν τούτοις τοῖς καιροῖς τῆς μὲν Λιβύης ἐκυρίευον πάντων τῶν ἐπὶ τὴν ἔσω θάλατταν νευόντων μερῶν, ἀπὸ τῶν Φιλαίνου βωμῶν, οἳ κεῖνται κατὰ τὴν μεγάλην Σύρτιν, ἕως ἐφ' Ἡρακλείους στήλας· τοῦτο δὲ τὸ μῆκός ἐστι τῆς παραλίας ὑπὲρ τοὺς ἑξακισχιλίους καὶ μυρίους σταδίους. διαβάντες δὲ τὸν καθ' Ἡρακλείους στήλας πόρον ὁμοίως ἐκεκρατήκεισαν καὶ τῆς Ἰβηρίας ἁπάσης ἕως τῆς ῥαχίας, ὃ πέρας ἐστὶ πρὸς τῇ καθ' ἡμᾶς θαλάττῃ τῶν Πυρηναίων ὀρῶν, ἃ διορίζει τοὺς Ἴβηρας καὶ Κελτούς. ἀπέχει δὲ τοῦ καθ' Ἡρακλείους στήλας στόματος οὗτος ὁ τόπος περὶ ὀκτακισχιλίους σταδίους. ἐπὶ μὲν γὰρ Καινὴν πόλιν ἀπὸ Στηλῶν εἶναι συμβαίνει τρισχιλίους, ὅθεν ἐποιεῖτο τὴν ὁρμὴν Ἀννίβας τὴν εἰς Ἰταλίαν· ἀπὸ δὲ ταύτης εἰσὶν ἐπὶ μὲν τὸν Ἴβηρα ποταμὸν ἑξακόσιοι στάδιοι πρὸς δισχιλίοις, ἀπὸ δὲ τούτου πάλιν εἰς Ἐμπόριον χίλιοι σὺν ἑξακοσίοις, *** καὶ μὴν ἐντεῦθεν ἐπὶ τὴν τοῦ Ῥοδανοῦ διάβασιν περὶ χιλίους ἑξακοσίους· ταῦτα γὰρ νῦν βεβημάτισται καὶ σεσημείωται κατὰ σταδίους ὀκτὼ διὰ Ῥωμαίων ἐπιμελῶς.

También aquí Iberia significa sólo la costa oriental. 8000 estadios como longitud de la costa oriental (y de la península), también en 34, 7, 3. El Periplo, Piteas, Eratóstenes, Posidonio ponen 6000; Escílax 7000 (*Fontes* I, 115 = ed. cast., pág. 125). El exceso de Polibio se explica por medirlos en el camino del litoral, que era notablemente más largo que el marítimo. Las medidas, como dice expresamente Polibio, se toman de la vía litoral, cuyas millas él reduce a estadios (en él 1 milla = 8 y 1/3 estadios) (ver Cuntz, *Polybios und sein Werk*, 1902, pág. 24 y sig.). De ello se deduce al mismo tiempo que la vía litoral ya había sido construída y provista de miliarios antes de la muerte de Polibio. En todo caso ello sucedió después de 121, pues entonces Domicio construía la vía Domicia, de la que es una prolongación al otro lado del Pirineo la vía que sigue la costa oriental española. Como que el libro tercero, además, ya estaba escrito hacia 150, tales noticias acerca de la vía deben ser una adición posterior, hecha poco antes de la muerte de Polibio (ver Cuntz).

34, 6, 3 (Estrab. 105): τὴν μὲν γὰρ παραλίαν ἐοικέναι μάλιστ' ἀμβλείᾳ γωνίᾳ, βεβηκυίᾳ ἐπί τε τοῦ πορθμοῦ καὶ τῶν Στηλῶν, κορυφὴν δ' ἐχούσῃ Νάρβωνα, ὥστε συνίστασθαι τρίγωνον βάσιν ἔχον τὴν διὰ τοῦ πελάγους εὐθεῖαν, πλευρὰς δὲ τὰς τὴν γωνίαν ποιούσας τὴν λεχθεῖσαν· ὧν ἡ μὲν ἀπὸ τοῦ πορθμοῦ μέχρι Νάρβωνος μυρίων ἐστὶ καὶ πλειόνων ἢ διακοσίων ἐπὶ τοῖς χιλίοις, ἡ δὲ λοιπὴ μικρῷ ἐλαττόνων ἢ ὀκτακισχιλίων. καὶ μὴν πλεῖστον μὲν διάστημα ἀπὸ τῆς Εὐρώπης ἐπὶ τὴν Λιβύην ὁμολογεῖσθαι κατὰ τὸ Τυρρηνικὸν πέλαγος σταδίων οὐ πλειόνων ἢ τρισχιλίων, κατὰ τὸ Σαρδόνιον δὲ λαμβάνειν συναγωγήν. ἀλλ' ἔστω, φησί, καὶ ἐκεῖνο τρισχιλίων· προειλήφθω δ' ἐπὶ τούτοις δισχιλίων σταδίων τὸ τοῦ κόλπου βάθος τοῦ κατὰ Νάρβωνα, ὡς ἂν κάθετος ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν τοῦ ἀμβλυγωνίου. δῆλον οὖν, φησίν, ἐκ τῆς παιδικῆς μετρήσεως ὅτι ἡ σύμπασα παραλία ἡ ἀπὸ τοῦ πορθμοῦ ἐπὶ Στήλας ἔγγιστα ὑπερέχει τῆς διὰ τοῦ πελάγους εὐθείας πεντακοσίοις σταδίοις. προστεθέντων δὲ τῶν ἀπὸ τῆς Πελοποννήσου ἐπὶ τὸν πορθμὸν τρισχιλίων, οἱ σύμπαντες ἔσονται στάδιοι, αὐτοὶ οἱ ἐπ' εὐθείας, πλείους ἢ διπλάσιοι ὧν Δικαίαρχος εἶπε. πλείους δὲ τούτων τοὺς ἐπὶ τὸν μυχὸν τὸν Ἀδριατικὸν δεήσει, φησί, τιθέναι κατ' ἐκεῖνον. Ἀλλ', ὦ φίλε Πολύβιε, φαίη τις ἄν, ὥσπερ τούτου τοῦ ψεύσματος ἐναργῆ παρίστησι τὸν ἔλεγχον ἡ πεῖρα ἐξ αὐτῶν ὧν εἴρηκας αὐτός, εἰς μὲν Λευκάδα ἐκ Πελοποννήσου ἑπτακοσίους, ἐντεῦθεν δὲ τοὺς ἴσους εἰς Κόρκυραν, καὶ πάλιν ἐντεῦθεν εἰς τὰ Κεραύνια τοὺς ἴσους, καὶ ἐν δεξιᾷ εἰς τὴν Ἰαπυγίαν, ἀπὸ δὲ τῶν Κεραυνίων τὴν Ἰλλυρικὴν παραλίαν σταδίων ἑξακισχιλίων ἑκατὸν πεντήκοντα, οὕτως κἀκεῖνα ψεύσματά ἐστιν ἀμφότερα, καὶ ὃ Δικαίαρχος εἶπε, τὸ ἀπὸ πορθμοῦ ἐπὶ Στήλας εἶναι σταδίων ἑπτακισχιλίων, καὶ ὃ σὺ δοκεῖς ἀποδεῖξαι.* Πῶς οὐκ ἂν εἰκότως δόξειεν ὑπερβεβηκέναι καὶ ἀπολελη‍ρηκέναι τὸν Βεργαῖον Ἀντιφάνην, καὶ καθόλου μηδενὶ καταλιπεῖν ὑπερβολὴν ἀνοίας τῶν ἐπιγινομένων; (7)* Ἑξῆς δὲ τὰ τοῦ Ἐρατοσθένους ἐπανορθοῖ, τὰ μὲν εὖ, τὰ δὲ χεῖρον λέγων ἢ ἐκεῖνος. ἐξ Ἰθάκης μὲν γὰρ εἰς Κόρκυραν τριακοσίους εἰπόντος, πλείους φησὶν εἶναι τῶν ἐνακοσίων, ἐξ Ἐπιδάμνου δὲ εἰς Θεσσαλονίκειαν ἐνακοσίους ἀποδόντος, πλείους τῶν δισχιλίων φησί. ταῦτα μὲν εὖ, ἀπὸ δὲ Μασσαλίας ἐπὶ Στήλας λέγοντος ἑπτακισχιλίους, ἀπὸ δὲ Πυρήνης ἑξακισχιλίους, αὐτὸς λέγει χεῖρον πλείους ἢ ἐνακισχιλίους τοὺς ἀπὸ Μασσαλίας, ἀπὸ δὲ Πυρήνης μικρὸν ἐλάττους ἢ ὀκτακισχιλίους. ἐγγυτέρω γὰρ τῆς ἀληθείας ἐκεῖνος εἴρηκεν. οἱ γὰρ νῦν ὁμολογοῦσιν, εἴ τις τὰς τῶν ὁδῶν ἀνωμαλίας ὑποτέμνοιτο, μὴ μείζω τῶν ἑξακισχιλίων σταδίων εἶναι τὸ μῆκος τὴν σύμπασαν Ἰβηρίαν ἀπὸ Πυρήνης ἕως τῆς ἑσπερίου πλευρᾶς. ὁ δ' αὐτὸν τὸν Τάγον ποταμὸν ὀκτακισχιλίων τίθησι τὸ μῆκος ἀπὸ τῆς πηγῆς μέχρι τῶν ἐκβολῶν, οὐ δή που τὸ σὺν τοῖς σκο-

λιώμασιν (οὐ γὰρ γεωγραφικὸν τοῦτο), ἀλλ' ἐπ' εὐθείας λέγων· καίτοι γε ἀπὸ Πυρήνης αἱ τοῦ Τάγου πηγαὶ πλέον διέχουσιν ἢ χιλίους σταδίους. πάλιν δὲ τοῦτο μὲν ὀρθῶς ἀποφαίνεται, ὅτι ἀγνοεῖ τὰ Ἰβηρικὰ ὁ Ἐρατοσθένης, καὶ διότι περὶ αὐτῆς ἔσθ' ὅπου τὰ μαχόμενα ἀποφαίνεται, ὅς γε μέχρι Γαδείρων ὑπὸ Γαλατῶν περιοικεῖσθαι φήσας τὰ ἔξωθεν αὐτῆς, εἴ γε τὰ πρὸς δύσιν τῆς Εὐρώπης μέχρι Γαδείρων ἔχουσιν ἐκεῖνοι, τούτων ἐκλαθόμενος κατὰ τὴν τῆς Ἰβηρίας περίοδον τῶν Γαλατῶν οὐδαμοῦ μέμνηται.

Acerca de los 8000 estadios como cifra de la longitud de la península ver antes, pág. 137. La longitud del curso del Tajo no alcanza 8000, sino apenas 4000 estadios. La falta está en la deformación de la península en el sentido de la longitud, y ésta en no tener en cuenta los resultados de las investigaciones de Piteas (ver antes, pág. 78 y sig.).

34, 8 (Ateneo 302 C.): Πολύβιος δ' ὁ Μεγαλοπολίτης ἐν τετάρτῃ καὶ τριακοστῇ τῶν ἱστοριῶν περὶ τῆς ἐν Ἰβηρίᾳ Λυσιτανίας χώρας διαλεγόμενός φησιν ὅτι βάλανοί εἰσι κατὰ βάθος ἐν τῇ αὐτόθι θαλάττῃ πεφυτευμέναι, ὧν τὸν καρπὸν σιτουμένους τοὺς θύννους πιαίνεσθαι. διόπερ οὐκ ἂν ἁμάρτοι τις λέγων ὗς εἶναι θαλαττίους τοὺς θύννους. Λέγει δ' ὁ Πολύβιος καὶ μέχρι τῆς Λατίνης ἐκπίπτειν τὴν βάλανον ταύτην, εἰ μὴ ἄρα, φησί, καὶ ἡ Σαρδὼ φέρει καὶ ἡ πλησιόχωρος ταύτῃ.

Estrabón, 145: πολὺς δὲ καὶ ὁ θύννος συνελαύνεται δεῦρο ἀπὸ τῆς ἄλλης τῆς ἔξωθεν παραλίας πίων καὶ παχύς. τρέφεται δὲ βαλάνῳ δρυίνῃ φυομένῃ κατὰ τῆς θαλάττης χαμαιζήλῳ τινὶ παντάπασιν, ἁδρότατον δ' ἐκφερούσῃ καρπόν, ἥπερ καὶ ἐν τῇ γῇ φύεται πολλὴ κατὰ τὴν Ἰβηρίαν ῥίζας μὲν ἔχουσα μεγάλας ὡς ἂν τελείας δρυός, ἐξαιρομένη δὲ θάμνου ταπεινῆς ἧττον. τοσοῦτον δ' ἐκφέρει καρπὸν ὥστε μετὰ τὴν ἀκμὴν πλήρη τὴν παραλίαν εἶναι τήν τε ἐντὸς καὶ τὴν ἐκτὸς Στηλῶν ἣν ἐκβάλλουσιν αἱ πλῆμαι· ἡ δ' ἐντὸς Στηλῶν ἐλάττων ἀεὶ καὶ μᾶλλον εὑρίσκεται. λέγει δ' ὁ Πολύβιος καὶ μέχρι τῆς Λατίνης ἐκπίπτειν τὴν βάλανον ταύτην εἰ μὴ ἄρα (φησὶ) καὶ ἡ Σαρδὼ φέρει καὶ ἡ πλησιόχωρος ταύτῃ. καὶ οἱ θύννοι δ' ὅσῳ πλεῖον συνεγγίζουσι ταῖς Στήλαις ἔξωθεν φερόμενοι τοσῷδ' ἰσχναίνονται πλεῖον τῆς τροφῆς ἐπιλειπούσης, εἶναί τε ἄρα θαλάττιον ὗν τὸ ζῷον τοῦτο· ἥδεσθαι γὰρ τῇ βαλάνῳ καὶ πιαίνεσθαι διαφερόντως ὑπ' αὐτῆς, φορᾶς τε τῆς βαλάνου γενομένης φορὰν καὶ τῶν θύννων εἶναι.

Estrabón, 225: ἀκολουθεῖ γὰρ ὁ θύννος οὐ τῇ βαλάνῳ μόνον ἀλλὰ καὶ τῇ πορφύρᾳ παρὰ γῆν ἀρξάμενος ἀπὸ τῆς ἔξω θαλάττης μέχρι καὶ Σικελίας.

Acerca de los atunes (ver antes, pág. 42, 111). Con βάλανος se indica no el *fucus vesiculosus* (así Ernst H. T. Meyer, *Botanische Erläuterungen zu Strabon*, Königsberg, 1852, 5) sino *quercus coccifera*. El pasaje figura en un extracto de Posidonio, por lo tanto como cita de él, lo mismo que en las págs. 153, 163.

34, 8, 4 (Ateneo, 330): τὴν κατὰ τὴν Λυσιτανίαν (χώρα δ' ἐστὶν αὕτη τῆς Ἰβηρίας, ἣν νῦν Ῥωμαῖοι Σπανίαν ὀνομάζουσι) διηγούμενος εὐδαιμονίαν Πολύβιος ὁ Μεγαλοπολίτης ἐν τῇ τετάρτῃ καὶ τριακοστῇ τῶν ἱστοριῶν φησιν ὡς αὐτόθι διὰ τὴν τοῦ ἀέρος εὐκρασίαν καὶ τὰ ζῷα πολύγονα καὶ οἱ ἄνθρωποι, καὶ οἱ ἐν τῇ χώρᾳ καρποὶ οὐδέποτε φθείρονται. ῥόδα μὲν γὰρ αὐτόθι καὶ λευκόια καὶ ἀσπάραγοι καὶ τὰ παραπλήσια τούτοις οὐ πλεῖον διαλείπει μηνῶν τριῶν, τὸ δὲ θαλάττιον ὄψον καὶ κατὰ τὸ πλῆθος καὶ κατὰ τὴν χρηστότητα καὶ κατὰ τὸ κάλλος μεγάλην ἔχει διαφορὰν πρὸς τὸ γινόμενον ἐν τῇ καθ' ἡμᾶς θαλάττῃ. καὶ ὁ μὲν τῶν κριθῶν Σικελικὸς μέδιμνός ἐστι δραχμῆς, ὁ δὲ τῶν πυρῶν ἐννέα ὀβολῶν Ἀλεξανδρινῶν· τοῦ δ' οἴνου δραχμῆς ὁ μετρητής, καὶ ἔριφος ὁ μέτριος ὀβολοῦ, καὶ λαγώς. τῶν δ' ἀρνῶν τριώβολον καὶ τετρώβολον ἡ τιμή. ὗς δὲ πίων, ἑκατὸν μνᾶς ἄγων, πέντε δραχμῶν, καὶ πρόβατον δυεῖν. τάλαντον δὲ σύκων τριῶν ὀβολῶν, μόσχος δραχμῶν πέντε, καὶ βοῦς ζύγιμος δέκα. τὰ δὲ τῶν ἀγρίων ζῴων κρέα σχεδὸν οὐδὲ κατηξιοῦτο τιμῆς, ἀλλ' ἐν ἐπιδόσει καὶ χάριτι τὴν ἀλλαγὴν ποιοῦνται τούτων.

Los precios de los víveres lusitanos pudo saberlos Polibio (quien jamás estuvo en Lusitania) por los generales antes mencionados; también podría suponerse que los habitantes del Algarve, la parte más rica de Lusitania, surtían el mercado de Gades y que allí conoció Polibio los precios. En todo caso esa riqueza y prosperidad reinaba sólo en el Algarve, no en toda Lusitania, que en parte es tierra montañosa pobre, cuyos habitantes se veían obligados para poder vivir a practicar el merodeo. (Ver mi artículo *Viriatus*, *Ilbergs Jahrbücher*, 1917 y trad. esp. *Viriato*, Boletín de la Biblioteca Menéndez y Pelayo, 1920). Los tres meses, durante los cuales allí no hay rosales en flor son Junio, Julio y Agosto. Que el Océano sobre-

pasa en riqueza en especies de pescados al Mediterráneo, es exacto.

Un medimno siciliano = 52 litros; 1 dracma de Alejandría = 1 dracma ática = 1 peseta, por lo tanto 52 litros de cebada = 1 peseta; 1 litro de cebada = 2 céntimos; 52 litros de trigo = 9 óbolos = 1, 50 pesetas, por lo tanto 1 litro de trigo = 3 céntimos; 1 metretes = 40 litros, por lo tanto 40 litros = 1 peseta; 1 litro de vino = 2, 5 céntímos; 1 macho cabrío y una liebre = 1 óbolo = 19 céntimos; 1 cerdo cebado de 50 kilogramos de peso = 5 pesetas; 1 oveja = 2 pesetas; 1 talento = 26 kilogramos de higos = 3 óbolos = 50 céntimos, por lo tanto 1 kilo de higos = 2 céntimos; 1 ternero = 5 pesetas, 1 buey de arar = 10 pesetas.

34, 15 (Plin. 4, 119): *in ipso vero capite mox Baeticae ab ostio freti p.* XXV *Gadis, longa, ut Polybius scribit,* XII, *lata* III, *abest a continente proxima parte minus pedes DCC, reliqua plus* VII, *ipsius spatium* XV *est.*

Las 25 millas se miden desde el Cabo Trafalgar, el principio del estrecho de Gibraltar (ver Fontes I. 101). La longitud de la isla de Gades la calcula también Estrabón 169 en 12 millas; en realidad son 18 Km. La anchura del istmo alcanza en el lugar más ancho, en el S., 12 Km., mientras que en el lugar más estrecho, en el cuello, es de 0,5 Km., así como en la cabeza (ciudad de Cádiz) es de 2 Km. La anchura transmitida (4, 5 Km.) es incomprensible y probablemente constituye un error. La menor distancia del continente, 700 pies = 200 m., es el brazo de mar del canal Santipetri, cuya anchura hoy es de 500 m. y más. La distancia de más de 7 millas (unos 11 Km.) es la del Portus Gaditanus, Puerto Real, desde Gades. Las 15 millas = 22 Km. representan probablemente la periferia de la isla grande.

34, 9, 5 (Estrabón, 172): φησὶ δὲ ὁ Πολύβιος κρήνην ἐν τῷ Ἡρακλείῳ τῷ ἐν Γαδείροις εἶναι, βαθμῶν ὀλίγων κατάβασιν ἔχουσαν εἰς τὸ ὕδωρ, πότιμον, ἣν ταῖς παλιρροίαις τῆς θαλάττης ἀντιπαθεῖν, κατὰ μὲν τὰς πλήμας ἐκλείπουσαν, κατὰ δὲ τὰς ἀμπώτεις πληρουμένην. αἰτιᾶται δ' ὅτι τὸ πνεῦμα τὸ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν τῆς γῆς ἐκπῖπτον καλυφθείσης μὲν αὐτῆς ὑπὸ τοῦ κύματος κατὰ

τὰς ἐπιβάσεις τῆς θαλάττης εἴργεται τῶν οἰκείων τοιούτων ἐξόδων, ἀναστρέψαν δὲ εἰς τὸ ἐντὸς ἐμφράττει τοὺς τῆς πηγῆς πόρους καὶ ποιεῖ λειψυδρίαν· γυμνωθείσης δὲ πάλιν εὐθυπορῆσαν ἐλευθεροῖ τὰς φλέβας τῆς πηγῆς, ὥστ' ἀναβλύειν εὐπόρως.

N. 7-11 es de Posidonio. La cita de Polibio procede de la polémica de Posidonio contra Polibio, Artemidoro, etc. (ver bajo Posidonio, pág. 180).

Estrabón 173: εἰκὸς μὲν γὰρ οὕτως ἔχειν ὡς ὁ Πολύβιός φησιν.

Lo mismo.

34, 9, 4 (Estrab., 170): καὶ Δικαίαρχος δὲ καὶ Ἐρατοσθένης καὶ Πολύβιος καὶ οἱ πλεῖστοι τῶν Ἑλλήνων περὶ τὸν πορθμὸν ἀποφαίνουσι τὰς Στήλας. οἱ δὲ Ἴβηρες καὶ Λίβυες ἐν Γαδείροις εἶναί φασιν... οἱ δὲ τὰς ἐν τῷ Ἡρακλείῳ τῷ ἐν Γαδείροις χαλκᾶς ὀκταπήχεις... ταύτας λέγεσθαί φασιν... τοῦτον δ' εἶναι πιθανώτατον Ποσειδώνιος ἡγεῖται τὸν λόγον.

La cita de Polibio, procede de la polémica de Posidonio, no siendo directa.

34, 9, 1 (Estrabón, 139): τοὺς δ' ἐνοικοῦντας Τουρδητανούς τε καὶ Τουρδούλους προσαγορεύουσιν, οἱ μὲν τοὺς αὐτοὺς νομίζοντες, οἱ δ' ἑτέρους, ὧν ἐστι καὶ Πολύβιος, συνοίκους φήσας τοῖς Τουρδητανοῖς πρὸς ἄρκτον τοὺς Τουρδούλους.

Los Turdetanos y Túrdulos son los antiguos Tartesios. *Tartessii* y *Turdetani* juntos en Livio (*Tartessos* 48). Ambos nombres son seguramente tan sólo dos formas distintas del mismo, como Bastetanos al lado de Bastulos, de manera que Polibio, al distinguirlos, no tenía razón. Estrabón hace notar la gran cultura de los Turdetanos, los cuales son los más adelantados de todos los Iberos (*Tartessos* 77).

Como que οἱ δὲ procede de Polibio con οἱ μὲν se indica seguramente a Posidonio, del que procede toda esta parte; la cita de Polibio procede por lo tanto de la polémica de aquél (ver pág. 145, 163).

Estrabón, 151: Καρχηδόνιοι μετὰ τοῦ Βάρκα στρατεύσαντες κατέλαβον ὥς φασιν οἱ συγγραφεῖς, φάτναις ἀργυραῖς καὶ πίθοις χρωμένους τοὺς ἐν τῇ Τουρδητανίᾳ.

De Posidonio. Con συγγραφεῖς se indica seguramente a Polibio, como en la pág. 147 con ἱστορικοί. Por lo tanto Polibio en la cita de Posidonio (ver antes pág. 134).

34, 9, 3 (Estrabón, 151): τῇ δὲ τῆς χώρας εὐδαιμονίᾳ καὶ τὸ ἥμερον καὶ τὸ πολιτικὸν συνηκολούθησε τοῖς Τουρδητανοῖς, καὶ τοῖς Κελτικοῖς δὲ διὰ τὴν γειτνίασιν, ὡς (δ') εἴρηκε Πολύβιος διὰ τὴν συγγένειαν.

Los Célticos, sucesores de los Cempsi del Periplo, viven al W. del Guadiana inferior (*Viriatus* 211). Igualmente se trata de Polibio en polémica contra Posidonio, quien contra el primero explicaba la civilización de los Célticos por la vecindad de los Turdetanos (ver antes, pág. 142).

La descripción de Estrabón de los Lusitanos (pág. 154) y de los Celtíberos (pág. 162) se aparta mucho de la de Posidonio (Diod. 5, 33-34) fundándose por lo tanto en la de Polibio. Pero Polibio no fué utilizado directa sino indirectamente, a través de Artemidoro. Que la descripción de Lusitania hay que retrotraerla a Polibio, se deduce: 1) de la referencia de la campaña de Bruto (pág. 152, 153, 155) y 2) de la noticia polibiánica de que los ríos occidentales proceden de la Meseta (pág. 152-148, en donde se cita a Polibio, y 162). Para Celtiberia se cita varias veces a Polibio (pág. 162, 163), siendo polibiánicas la duración por espacio de diez años de la guerra de Numancia, así como las cuatro tribus de los Celtíberos (pág. 162).

La mediación de Artemidoro resulta probable: para Lusitania en 3, 3, 1 (relación con la anterior descripción de la costa en la pág. 140) y en 3, 3, 2, en donde la mención de las dos ciudades de los Oretanos resulta atestiguada como de Artemidoro por Esteban de Biz. s. Ὠρισία. Para Celtiberia se deduce que Artemidoro es el intermediario de 3, 4, 17.

34, 9, 12 (Estrabón, 148): Πολύβιος δὲ καὶ τὸν Ἄναν καὶ τοῦτον (Baetis) ἐκ τῆς Κελτιβηρίας ῥεῖν φησι, διέχοντας ἀλλήλων ὅσον ἐνακοσίους σταδίους.

El número coincide poco más o menos. Tampoco esta cita es directa de Polibio, sino de la polémica de Posidonio, de la que Estrabón tomó todo el capítulo 2 (Turdetania).

Estrabón p. 162: ... διὰ γὰρ τούτων ὅ τε Ἄνας φέρεται καὶ ὁ Τάγος καὶ οἱ ἐφεξῆς ποταμοὶ οἱ πλείους οἱ ἐπὶ τὴν ἑσπερίαν θάλατταν καταφερόμενοι, τὴν ἀρχὴν ἔχοντες ἐκ τῆς Κελτιβηρίας (cod. Ἰβηρίας).

También aquí es Posidonio el intermediario de la cita.

Estrabón p. 153: καὶ οὗτος (Λήθης) δ' ἐκ Κελτιβήρων καὶ Οὐακκαίων ῥεῖ καὶ ὁ μετ' αὐτὸν Βαῖνις... Ποσειδώνιος δὲ ἐκ Καντάβρων αὐτὸν ῥεῖν φησι.

También aquí Polibio está transmitido por Posidonio.

Estrabón, p. 162: Πολύβιος δὲ τὰ τῶν Οὐακκαίων καὶ τῶν Κελτιβήρων ἔθνη καὶ χωρία διεξιὼν συλλέγει ταῖς ἄλλαις πόλεσι καὶ Σεγεσάμαν καὶ Ἰντερκατίαν. φησὶ δὲ Ποσειδώνιος Μάρκον Μάρκελλον πράξασθαι φόρον ἐκ τῆς Κελτιβηρίας τάλαντα ἑξακόσια, ἐξ οὗ τεκμαίρεσθαι πάρεστιν ὅτι καὶ πολλοὶ ἦσαν οἱ Κελτίβηρες καὶ χρημάτων εὐποροῦντες καίπερ οἰκοῦντες χώραν παράλυπρον. Πολυβίου δ' εἰπόντος τριακοσίας αὐτῶν καταλῦσαι πόλεις Τιβέριον Γράκχον κωμῳδῶν φησι τοῦτο τῷ Γράκχῳ χαρίσασθαι τὸν ἄνδρα τοὺς πύργους καλοῦντα πόλεις ὥσπερ ἐν ταῖς θριαμβικαῖς πομπαῖς.

Celtíberos y Vacceos fueron conocidos por Polibio cuando la campaña de Numancia.

Segisama o -mo (Hübner *RE. s. v.* hace de ella dos ciudades!) en la vía militar que iba a Astorga, el cuartel general de Augusto en la guerra contra los Cántabros.

Intercatia sale en las guerras celtibéricas (*Numantia* I, 350).

Las campañas de Tiberio Graco, el padre de los Gracos, en 180-179: ver *Numantia* I, 328.

πύργοι los pequeños castillos ibéricos (*Numantia* I, 182).
De nuevo Polibio en la polémica de Posidonio.

Suidas s. μάχαιρα (fr. 96): οἱ Κελτίβηρες τῇ κατασκευῇ τῶν μαχαιρῶν πολὺ διαφέρουσι τῶν ἄλλων. καὶ γὰρ κέντημα πρακτικὸν καὶ καταφορὰν ἔχει δυναμένην ἐξ ἀμφοῖν τοῖν μεροῖν. ᾗ καὶ Ρωμαῖοι τὰς πατρίους ἀποθέμενοι μαχαίρας ἐκ τῶν κατ' Ἀννίβαν μετέλαβον τὰς τῶν Ἰβήρων. καὶ τὴν μὲν κατασκευὴν μετέλαβον, αὐτὴν δὲ τὴν χρηστότητα τοῦ σιδήρου καὶ τὴν ἄλλην ἐπιμέλειαν οὐδαμῶς δύνανται μιμεῖσθαι.

Comprobado como polibiánico por la concordancia con Polibio 6, 23, 6: ... καλοῦσι δὲ αὐτὴν Ἰβηρικήν. ἔχει δ' αὕτη κέντημα διάφορον καὶ καταφορὰν ἐξ ἀμφοῖν τοῖν μεροῖν βίαιον διὰ τὸ τὸν ὀβελίσκον αὐτῆς ἰσχυρὸν καὶ μόνιμον εἶναι; y 3, 114, 3 (Cannae): ... τῆς μὲν γὰρ (la espada ibérica) οὐκ ἔλαττον τὸ κέντημα τῆς καταφορᾶς ἴσχυε πρὸς τὸ βλάπτειν.

Acerca de la espada celtibérica, ver pág. 108 (*Numantia* I, 109).

Suidas s. ἴδιον (fr. 95): ἴδιον ἔχουσι οἱ Κελτίβηρες κατὰ τὸν πόλεμον. θεωροῦντες γὰρ τοὺς παρ' αὐτῶν πεζοὺς πιεζομένους παρακαταβάντες ἀπολείπουσι τοὺς ἵππους ἑστῶτας ἐν τάξει. ἄκροις γὰρ τοῖς ἀγωγεῦσι τῶν ἵππων πατταλίσκους μικροὺς ἔχοντες προσηρτημένους τούτους ἐπιμελῶς πήξαντες πειθαρχεῖν διδάσκουσι τοὺς ἵππους ἐν τάξει, μέχρις ἀνακάμψαντες ἀνασπάσωσι τοὺς πατταλίσκους.

Ver Estrabón 163. De otra manera Posidonio en Diodoro 5, 33, 5.

Polibio 12, 3, 10: ὁ δὲ κύνικλος πόρρωθεν μὲν ὁρώμενος εἶναι δοκεῖ λαγὼς μικρός, ὅταν δ' εἰς τὰς χεῖρας λάβῃ τις, μεγάλην ἔχει διαφορὰν καὶ κατὰ τὴν ἐπιφάνειαν καὶ κατὰ τὴν βρῶσιν, γίνεται δὲ τὸ πλεῖον μέρος κατὰ γῆς.

κύνικλος, nombre libio-ibérico del conejo, procedente del N. de África y de España, que Polibio tuvo ocasión de ver frecuentemente durante la campaña de Numancia (ver *Numantia* I, 169).

Estrabón, 147: τὸν δὲ καττίτερον οὐκ ἐπιπολῆς εὑρίσκεσθαί φησιν (Posidonio), ὡς τοὺς ἱστορικοὺς θρυλεῖν, ἀλλ' ὀρύττεσθαι.

Con ἱστορικοί indica Posidonio a Polibio, del cual poco después se cita el pasaje acerca de las minas de Cartago-nova.

Estrabón 147: Πολύβιος δὲ τῶν περὶ Καρχηδόνα Νέαν ἀργυρείων μνησθεὶς μέγιστα μὲν εἶναί φησι, διέχειν δὲ τῆς πόλεως ὅσον εἴκοσι σταδίους, περιειληφότα κύκλον τετρακοσίων σταδίων, ὅπου τέτταρας μυριάδας ἀνθρώπων μένειν τῶν ἐργαζομένων, ἀναφέροντας τότε τῷ δήμῳ τῶν Ῥωμαίων καθ' ἑκάστην ἡμέραν δισμυρίας καὶ πεντακισχιλίας δραχμάς. τὴν δὲ κατεργασίαν τὴν μὲν ἄλλην ἐῶ (μακρὰ γάρ ἐστι), τὴν δὲ συρτὴν βῶλον τὴν ἀργυρῖτίν φησι κόπτεσθαι καὶ κοσκίνοις εἰς ὕδωρ διαττᾶσθαι· κόπτεσθαι δὲ πάλιν τὰς ὑποστάσεις, καὶ πάλιν διηθουμένας ἀποχεομένων τῶν ὑδάτων κόπτεσθαι· τὴν δὲ πέμπτην ὑπόστασιν χωνευθεῖσαν, ἀποχυθέντος τοῦ μολίβδου, καθαρὸν τὸν ἄργυρον ἐξάγειν.

Cap. 36. La habilidad de los Iberos para la minería la atestigua también César (*B. G.* 3, 21) para los Aquitanos ibéricos. En tal aptitud se funda la civilización metalúrgica de Andalucía que alcanza hasta 2500 antes de J. C. Si los pueblos indígenas desarrollaron este arte por sí mismos o lo aprendieron de navegantes orientales, es todavía oscuro, pero lo más probable es lo último.

§ 2. Cobre, oro y plata, especialmente en Andalucía (Sierra Morena y Cordillera litoral). 1/4 de cobre como producto del mineral de cobre es mucho pero hay minerales que dan el 50 % (*RE.* XI, 2200).

Talento euboico (ático) = 26 Kg.; por lo tanto se obtenía diariamente casi 9 Kg. de plata.

§ 3. Propietarios romanos de minas en Cartagena los había ya hacia 200 a. de J. C. (*CIL* II, 6247: sellos en lingotes de plomo).

Cap. 37. Restos de utilización antigua de las minas son muy numerosos, pero desgraciadamente falta un estudio de conjunto (ver *Hispania*, pág. 69).

Norias antiguas se han encontrado con frecuencia.

Acerca del tornillo de Arquímedes, que éste inventó, ver *RE.* II, 538.

Cap. 38, 2. Acerca de las minas cartaginesas cerca de Cartagena, ver Estrabón 147-8 (de Polibio).

§ 4. Estaño se encuentra todavía hoy en España, especialmente en el NW.

Los filones de estaño, más al N. de los Lusitanos, se encontraban en tierra de los Artabros en Callaecia (Estrabón, 120, 147, 175). Pero no los conocieron los griegos hasta muy tarde. Antes el estaño, ya empleado en España para la fabricación del bronce hacia 2000 a. de J. C., llegaba de la Bretaña francesa y de Britannia (*Tartessos*, 11).

Estrabón, 99: ... εὑρόντα δ' ἀκρόπρωρον ξύλινον ἐκ ναυαγίου ἵππον ἔχον ἐγγεγλυμμένον πυθόμενον ὡς ἀπὸ τῆς ἑσπέρας πλεόντων τινῶν εἴη τὸ ναυάγιον τοῦτο... γνῶναι δὲ Γαδειριτῶν ὄν, τούτων γὰρ τοὺς μὲν ἐμπόρους μεγάλα στέλλειν πλοῖα, τοὺς δὲ πένητας μικρά, ἃ καλεῖν ἵππους ἀπὸ τῶν ἐν ταῖς πρῴραις ἐπισήμων. τούτοις δὲ πλεῖν μέχρι τοῦ Λίξου ποταμοῦ περὶ τὴν Μαυρουσίαν ἁλιευομένους.

Eudoxo de Cizico (hacia 120 a. de J. C.) encontró en la costa del E. de Africa el espolón de proa en forma de caballo de un barco gaditano, concluyendo de ello la posibilidad de la circumnavegación de Africa (ver *RE.* VI, 929).

Los barcos pesqueros gaditanos navegaban por lo tanto hasta Lixus (El Araisch). De Eudoxo tuvo noticia Posidonio en Gades (antes, pág. 162); prestó crédito a Eudoxo, lo mismo que había creído a Piteas, en ambos casos con razón.

Estrabón, 106: ... μέχρι τῶν ἄκρων τῆς Ἰβηρίας ἅπερ δυσμικώτερά ἐστι, μικρὸν ἀπολείπειν τῶν τρισμυρίων. συντιθέναι δ' οὕτως...

... ἀπὸ Στηλῶν δὲ ἐπὶ τὰ τελευταῖα τοῦ Ἱεροῦ ἀκρωτηρίου τῆς Ἰβηρίας περὶ τρισχιλίους (σταδίους).

De Posidonio. Según Estrabón, Posidonio designó el cabo S. Vicente como el lugar más occidental de Europa; pero Posidonio parece, en cambio, haber tenido en este concepto, de acuerdo con Piteas y con razón, al cabo Roca pues sus 3000 estadios son en Piteas la distancia de las Columnas al Cabo de Roca (antes, pág. 80). Que Posidonio señalase el cabo Roca como cabo sagrado (como Piteas el Cabo Ortegal: ver antes, pág. 80) es probable, pues en el Cabo Roca se celebraba un culto (*Fontes*, I, 86: ed. cast., pág. 91). De este modo se explica el error de Estrabón.

Estrabón, 119: δυσμικώτατον μὲν γὰρ σημεῖον τῆς οἰκουμένης τὸ τῶν Ἰβήρων ἀκρωτήριον, ὃ καλοῦσιν ἱερόν. κεῖται δὲ κατὰ τὴν γραμμήν πως τὴν διὰ Γαδείρων τε καὶ Στηλῶν καὶ τοῦ Σικελικοῦ πορθμοῦ καὶ τῆς Ῥοδίας.

συμφωνεῖν γὰρ καὶ τὰ ὡροσκοπεῖα καὶ τοὺς ἀνέμους φασὶ τοὺς ἑκατέρωσε φοροὺς καὶ τὰ μήκη τῶν μεγίστων ἡμερῶν τε καὶ νυκτῶν...

ἐν δὲ τῇ παραλίᾳ τῇ κατὰ Γάδειρα καὶ † Ἴβηράς (?) ποτε ὁρᾶσθαι. Ποσειδώνιος δ' ἔκ τινος ὑψηλῆς οἰκίας ἐν πόλει διεχούσῃ τῶν τόπων τούτων ὅσον τετρακοσίους σταδίους φησὶν ἰδεῖν ἀστέρα ὃν τεκμαίρεσθαι τὸν Κάνωβον αὐτὸν ἔκ τοῦ τε μικρὸν ἐκ τῆς Ἰβηρίας προελθόντας ἐπὶ τὴν μεσημβρίαν ὁμολογεῖν ἀφορᾶν αὐτὸν καὶ ἐκ τῆς ἱστορίας τῆς ἐν Κνίδῳ. τὴν γὰρ Εὐδόξου σκοπὴν οὐ πολὺ τῶν οἰκήσεων ὑψηλοτέραν εἶναι, λέγεσθαι δ' ὅτι ἐντεῦθεν ἐκεῖνος ἀφεώρα τὸν Κάνωβον ἀστέρα, εἶναι δ' ἐπὶ τοῦ Ῥοδιακοῦ κλίματος τὴν Κνίδον, ἐφ' οὗ καὶ τὰ Γάδειρα καὶ ἡ ταύτῃ παραλία.

Acerca del Sagrado Promontorio, ver antes, pág. 151. Para Estrabón (Posidonio) el cabo S. Vicente no estaba al NW. sino al W. de las Columnas, en el mismo grado de latitud que Rodas. Como prueba de ello alegaba Posidonio que desde Gades se ve la misma estrella Canobo, que es visible en Rodas. La casa alta cerca de Gades es típica de la construcción de pisos que ya entonces, lo mismo que hoy, existía en Gades y a la que obligaba la estrechez del territorio de la ciudad.

Posidonio como fuente del libro III de Estrabón

Cap. 1. § 2-3, de Posidonio. Texto completo en *Fontes*, V (Estrabón).

Descripción general de la península.

§ 2: πρῶτον δὲ μέρος αὐτῆς (la geografía monográfica) ἐστι τὸ ἑσπέριον, ὥς ἔφαμεν, ἡ Ἰβηρία.

El nombre de Iberia limitado en Posidonio (en Estrabón, 153: ver luego, pág. 178) a la costa oriental de la Península; pero aquí, como en Piteas-Eratóstenes entendido como nombre general de toda la Península (antes, pág. 79).

ὄρη γὰρ καὶ δρυμοὺς καὶ πεδία λεπτὴν ἔχοντα γῆν οὐδὲ ταύτην ὁμαλῶς εὔυδρον οἰκοῦσι τὴν πολλήν.

πεδία, la Meseta. Reconocer que la mayor parte de Iberia es terreno de estepas lo hizo por primera vez Polibio, que había visto la Meseta por sí mismo.

ἡ δὲ πρόσβορρος ψυχρά τέ ἐστι τελέως πρὸς τῇ τραχύτητι καὶ παρωκεανῖτις προσειληφυῖα τὸ ἄμικτον κἀνεπίπλεκτον τοῖς ἄλλοις ὥσθ' ὑπερβάλλει τῇ μοχθηρίᾳ τῆς οἰκήσεως...

ἡ δὲ νότιος πᾶσα εὐδαίμων σχεδόν τι καὶ διαφερόντως ἡ ἔξω Στηλῶν...

Bajo costa septentrional entiende aquí Posidonio también la costa del W. pues él, más adelante, sólo describe la costa del S. La costa del N. sólo se conoció bien por las guerras cántabro-asturas, aunque una idea de sus características generales puede suponerse que la tuviera ya Posidonio que la encontró en Piteas y Eratóstenes. Piteas, en su viaje hacia el N. de Europa, navegó a lo largo de la costa septentrional de España (ver antes, pág. 78). Las expresiones enérgicas ὑπερβάλλει τῇ μοχθηρίᾳ, ψυχρὰ τελέως corresponden bien al estilo de Posidonio, rico en hipérboles. La costa del S., llegando hasta el Cabo S. Vicente, equivale por lo tanto las costas del E. y del S. («E.» significa el lado de los Pirineos).

§ 3: «Longitud» de la Península significa la extensión de N. a S., «latitud» la extensión de E. a W. Los Pirineos al E. Esta falsa orientación es una consecuencia de la deformación de la imagen del Ecumeno en el sentido de la longitud que ya se encuentra en Eratóstenes. Compárese con la imagen de la piel de buey en Estrabón 188 y Diodoro 5, 35. Medidas: Longitud (Pirineos-Columnas) 6000, latitud (Columnas-ángulo NW) 5000, cuello (Pirineos) 3000.

La apreciación de los Pirineos en 3000 estadios es atestiguada como posidónica en la pág. 188 (y en Diodoro 5, 35), las medidas 5000 y 6000 deben derivarse de Eratóstenes (Estrabón, 106), pero aquí probablemente proceden de Posidonio, porque parece natural que Estrabón tomase todas las medidas de la misma fuente. Lo mismo las medidas que la comparación con la forma de una piel de buey reaparece en la pág. 128, procediendo por lo tanto de una misma fuente. De ello se deduce que también la comparación con la piel de buey es de Posidonio, en quien son frecuentes tales comparaciones. Las medidas ya se encuentran en Piteas, luego en Eratóstenes a quien sigue Posidonio (ver *Fontes*, I, 21: ed. cast., pág. 23).

Límites de las cuatro costas: E.: Pirineos; S.: Pirineos-S. Vicente; W.: S. Vicente-Promontorio de los Artabros; N.: Prom. de los Artabros hasta el cabo occidental de los Pirineos. (§ 4 Artemidoro).

§ 5 (pág. 138) Cabo S. Vicente. Polémica de Posidonio contra Artemidoro:

ταῦτα μὲν οὖν οὕτως ἔχειν ἐγχωρεῖ καὶ δεῖ πιστεύειν, ἃ δὲ τοῖς πολλοῖς καὶ χυδαίοις ὁμοίως εἴρηκεν, οὐ πάνυ. λέγειν γὰρ δή φησι Ποσειδώνιος τοὺς πολλοὺς μείζω δύνειν τὸν ἥλιον ἐν τῇ παρωκεανίτιδι μετὰ ψόφου παραπλησίως ὡσανεὶ σίζοντος τοῦ πελάγους κατὰ σβέσιν αὐτοῦ διὰ τὸ ἐμπίπτειν εἰς τὸν βυθόν. ψεῦδος δ' εἶναι καὶ τοῦτο καὶ τὸ παραχρῆμα νύκτα ἀκολουθεῖν μετὰ τὴν δύσιν. οὐ γὰρ παραχρῆμα μικρὸν δ' ὕστερον καθάπερ καὶ ἐν τοῖς ἄλλοις πελάγεσι τοῖς μεγάλοις. ὅπου μὲν γὰρ εἰς ὄρη δύεται πλείω τὸν μετὰ δύσιν χρόνον τῆς ἡμέρας συμβαίνειν ἐκ τοῦ παραφωτισμοῦ, ἐκεῖ δὲ πλείω μὲν οὐκ ἐπακολουθεῖν, μὴ μέντοι μηδὲ παραχρῆμα συνάπτειν τὸ σκότος καθάπερ καὶ ἐν τοῖς μεγάλοις πεδίοις. τὴν δὲ τοῦ μεγέθους φαντασίαν αὔξεσθαι μὲν ὁμοίως κατά τε τὰς δύσεις καὶ τὰς ἀνατολὰς ἐν τοῖς πελάγεσι διὰ τὸ τὰς ἀναθυμιάσεις πλείους ἐκ τῶν ὑγρῶν ἀναφέρεσθαι. διὰ δὲ τούτων ὡς δι' ὑάλων (cod. αὐλῶν) κλωμένην τὴν ὄψιν πλατυτέρας δέχεσθαι τὰς φαντασίας καθάπερ καὶ διὰ νέφους ξηροῦ καὶ λεπτοῦ βλέπουσαν δυόμενον ἢ ἀνατέλλοντα τὸν ἥλιον ἢ τὴν σελήνην ἡνίκα καὶ ἐνερευθὲς φαίνεσθαι τὸ ἄστρον. τὸ δὲ ψεῦδος ἐλέγξαι φησὶ τριάκονθ' ἡμέρας διατρίψας ἐν Γαδείροις καὶ τηρήσας τὰς δύσεις. ὁ δέ γε Ἀρτεμίδωρος ἑκατονταπλασίονά φησι δύεσθαι τὸν ἥλιον καὶ αὐτίκα νύκτα καταλαμβάνειν. ὡς μὲν οὖν αὐτὸς εἶδε τοῦτο ἐν τῷ Ἱερῷ ἀκρωτηρίῳ, οὐχ ὑποληπτέον... ἀλλ' οὐδ' ἐν ἄλλῳ τόπῳ τῆς παρωκεανίτιδος. καὶ γὰρ τὰ Γάδειρα ἐπὶ τῷ Ὠκεανῷ καὶ ὁ Ποσειδώνιος ἀντιμαρτυρεῖ καὶ ἄλλοι πλείους.

La polémica de Posidonio contra Artemidoro es algo mezquina, pues este no dice en sentido literal ni «inmediatamente» (después de la puesta del sol) ni «100 veces mayor». Importantes indicaciones acerca de la permanencia durante un mes de Posidonio en Gades, que fué su estación principal.

§ 6. Procede de Posidonio, como se desprende de la concordancia con su descripción de Turdetania en el cap. 2. Se comprueba porque Artemidoro (que tanto antes como después sirve de fuente) no escribe Τουρδητανοί, como aquí se encuentra, sino Τουρτυτανοί (Esteban de Bizancio). También es propio de Posidonio el citar a Polibio (οἱ δ' ἑτέρους, ὧν ἐστι καὶ Πολύβιος). (§ 7-8 Artemidoro).

§ 9: λέγονται δὲ ἀναχύσεις αἱ πληρούμεναι τῇ θαλάττῃ κοιλάδες ἐν ταῖς πλημμυρίσι καὶ ποταμῶν δίκην ἀνάπλους εἰς τὴν μεσόγαιαν ἔχουσαι καὶ τὰς ἐπ' αὐταῖς πόλεις.

Comprobado como posidónico mediante la concordancia con la pág. 142 en el capítulo 2, que proviene de Posidonio. El restante § 9, de Artemidoro.

Cap. 2, Turdetania. De Posidonio, con la interpolación de un autor del tiempo de César, Timágenes, (según Klotz). Este capítulo es el más bello del libro.

§ 1. Límites, medidas (2000 estadios de longitud y latitud). Muchas ciudades (200), la mayor parte junto al Betis y en las rías (ἀναχύσεις). Córdoba, Gades, Hispalis.

§ 2. Itálica, Ilipa, Astigi, Carmo, Obulco [las ciudades del *Bellum Hispaniense:* interpolación de Timágenes], Conistorgis, Hasta.

§ 3. El Betis hasta Cástulo, a la izquierda la sierra con los metales (Ilipa, Sisapo, etc.), a la derecha la llanura. Las minas próximas al Anas.

§ 4. Hidrografía: las ἀναχύσεις, probablemente de περὶ ὠκεανοῦ. Ventajas de las rías para la navegación: que entran hasta muy lejos tierra adentro, siendo accesibles durante la marea alta. Acción alternativa del río y la marea. Rebaños de bueyes en las islas del río.

§ 5. Ciudades junto a las rías: Hasta, Nabrissa, Onoba, Mainoba. Canales. Comercio marítimo con Roma. Cita de Posidonio acerca de la navegación hacia Roma:

Pág. 144: ἴδιον δέ τι φησιν Ποσειδώνιος τηρῆσαι κατὰ τὸν ἀνάπλουν τὸν ἐξ Ἰβηρίας ὅτι οἱ εὖροι κατ' ἐκεῖνο τὸ πέλαγος ἕως τοῦ Σαρδῴου κόλπου πνέοιεν ἐτησίαι. διὸ καὶ τρισὶ μησὶν εἰς Ἰταλίαν καταραι μόλις παραδιενεχθεὶς περί τε τὰς Γυμνησίας νήσους καὶ περὶ Σαρδόνα καὶ τὰ ἄλλα ἀπαντικρὺ τούτων μέρη τῆς Λιβύης.

El viento del Este predomina en la costa oriental de España en invierno. Tres meses de viaje, normalmente cerca de un mes (*Numantia*, I, 297). Γυμνήσιαι, las Baleares. En el Periplo Gimnesia es el nombre de la isla Ebusos, Timeo llama Gymnesiai a las Baleares (ver antes, pág. 100). El nombre, Islas de los desnudos, designaría originariamente por lo tanto lo mismo

las Baleares que las Pitiusas. El nombre indígena *Baleares* (compárese con los Balares de Cerdeña, *Numantia*, I, 52) se encuentra por primera vez en Polibio, hallándose desde entonces ambos nombres usados indistintamente.

§ 6. Exportación, a la cual ya se ha hecho referencia en el § 5, por lo tanto también de Posidonio. En el estilo, nótese ὑπερβολὴ τοῦ κάλλους (149), ὑ. τῶν λεπτῶν ὑφασμάτων (íd.), ἄφθονος... εὐπορία (íd.), ὑπερβάλλει τοῖς πλήθεσι καὶ μεγέθεσι (145), διαφερόντως.

§ 7. Riqueza del mar.

A Posidonio cuadra la descripción según sus observaciones personales, de la ballena, así como el estilo: ὑπερβεβλημένη τὸ μέγεθος.

El pasaje acerca del pasto de bellotas del atún procede de Polibio (antes, pág. 139), pero aquí debe ser transmitido por Posidonio, ya que Estrabón no tenía ningún motivo para cambiar de fuente.

§ 8-9. Minas. Atestiguado como posidónico por la concordancia con Diodoro 5, 35 y con Ateneo 233 (ver Müllenhoff *DA*. II, 312).

§ 9. Estrabón censura ῥητορεία y ὑπερβολαί de Posidonio, que aparecen constantemente en lo que sigue:

Pág. 146: Ποσειδώνιος δὲ τὸ πλῆθος τῶν μετάλλων ἐπαινῶν καὶ τὴν ἀρετὴν οὐκ ἀπέχεται τῆς συνήθους ῥητορείας ἀλλὰ συνενθουσιᾷ ταῖς ὑπερβολαῖς. οὐ γὰρ ἀπιστεῖν τῷ μύθῳ φησὶν ὅτι τῶν δρυμῶν ποτε ἐμπρησθέντων ἡ γῆ τακεῖσα, ἅτε ἀργυρῖτις καὶ χρυσῖτις, εἰς τὴν ἐπιφάνειαν ἐξέζεσε διὰ τὸ πᾶν ὄρος καὶ πάντα βουνὸν ὕλην εἶναι νομίσματος ὑπό τινος ἀφθόνου τύχης σεσωρευμένην. καθόλου δ' ἂν εἶπε, φησίν, ἰδών τις τοὺς τόπους, θησαυροὺς εἶναι φύσεως ἀενάους ἢ ταμιεῖον ἡγεμονίας ἀνέκλειπτον. οὐ γὰρ πλουσία μόνον ἀλλὰ καὶ ὑπόπλουτος ἦν, φησίν, ἡ χώρα, καὶ παρ' ἐκείνοις ὡς ἀληθῶς τὸν ὑποχθόνιον τόπον οὐχ ὁ Ἅιδης ἀλλ' ὁ Πλούτων κατοικεῖ. τοιαῦτα μὲν οὖν ἐν ὡραίῳ σχήματι εἴρηκε περὶ τούτων, ὡς ἂν ἐκ μετάλλου καὶ αὐτὸς πολλῷ χρώμενος τῷ λόγῳ. τὴν δ' ἐπιμέλειαν φράζων τὴν τῶν μεταλλευόντων παρατίθησι τὸ τοῦ Φαληρέως, ὅτι φησὶν ἐκεῖνος ἐπὶ τῶν Ἀττικῶν ἀργυρείων οὕτω συντό ως ὀρύττειν τοὺς ἀνθρώπους ὡς ἂν προσδοκῶντας αὐτὸν ἀνάξειν τὸν Πλούτωνα. καὶ τούτων οὖν ἐμφανίζει παραπλησίαν τὴν σπουδὴν καὶ τὴν φιλεργίαν σκολιὰς τεμνόντων καὶ βαθείας τὰς σύριγγας καὶ πρὸς τοὺς ἐν αὐταῖς ἀπαντῶντας

ποταμοὺς πολλάκις τοῖς Αἰγυπτίοις ἀναντλούντων κοχλίαις. τὸ δὲ ὅλον (cod. τὸν δόλον) οὐ ταὐτὸν εἶναι τούτοις που καὶ τοῖς Ἀττικοῖς, ἀλλ' ἐκείνοις μὲν αἰνίγματι ἐοικέναι τὴν μεταλλείαν. ὅσα μὲν γὰρ ἀνέλαβον, φησίν, οὐκ ἔλαβον, ὅσα δὲ εἶχον ἀπέβαλον, τούτοις δ' ὑπεράγαν λυσιτελῆ, τοῖς μὲν χαλκουργοῖς τέταρτον μέρος ἐξάγουσι τῆς γῆς τὸν χαλκόν, τοῖς δὲ ἀργυρεύουσι τῶν ἰδιωτῶν ἐν τρισὶν ἡμέραις Εὐβοϊκὸν τάλαντον ἐξαίρουσι. τὸν δὲ καττίτερον οὐκ ἐπιπολῆς εὑρίσκεσθαί φησιν, ὡς τοὺς ἱστορικοὺς θρυλεῖν, ἀλλ' ὀρύττεσθαι. γεννᾶσθαι δ' ἔν τε τοῖς ὑπὲρ τοὺς Λυσιτανοὺς βαρβάροις καὶ ἐν ταῖς Καττιτερίσι νήσοις καὶ ἐκ τῶν Βρεττανικῶν δὲ εἰς τὴν Μασσαλίαν κομίζεσθαι. ἐν δὲ τοῖς Ἀρτάβροις, οἳ τῆς Λυσιτανίας ὕστατοι πρὸς ἄρκτον καὶ δύσιν εἰσίν, ἐξανθεῖν φησιν τὴν γῆν ἀργυρίῳ, καττιτέρῳ, χρυσίῳ λευκῷ. ἀργυρομιγὲς γάρ ἐστι. τὴν δὲ γῆν ταύτην φέρειν τοὺς ποταμούς. τὴν δὲ σκαλίσι τὰς γυναῖκας διαμώσας πλύνειν ἐν ἠθητηρίοις πλεκτοῖς ἐπὶ κίστην. οὗτος (Posidonio) μὲν περὶ τῶν μετάλλων τοιαῦτ' εἴρηκε.

La fábula del descubrimiento de los metales por el incendio de bosques la tomó Posidonio de Timeo (antes, pág. 104). Legítimamente posidónico es θησαυροὺς ἀενάους ἢ ταμιεῖον ἡγεμονίας ἀνέκλειπτον; οὐ πλουσία ἀλλ' ὑπόπλουτος. Cita de Posidonio en Demetrio de Faleron.

En lo referente al estaño, polémica de Posidonio contra Polibio: ὡς τοὺς ἱστορικοὺς θρυλεῖν (los que «sólo» son historiadores).

§ 10. Cita de Polibio acerca de las minas de plata de Cartagena. La cita no ha sido tomada de Polibio directamente, sino a través de Posidonio, quien constantemente ataca a Polibio y quien además es la fuente de esta parte.

§ 11. La montaña de plata junto a Cástulo. Polémica contra Polibio, quien hace nacer el Betis y el Anas en Celtiberia (= pág. 162). Digresión acerca del Betis-Tartessos. Cita de la Gerioneida de Estesicoro, tomada de los παλαιοί, esto es de Eforo. Las dos bocas del Tartessos y entre ellas la ciudad de Tartessos. Nombre del país: Ταρτησσίς. Cita de Artemidoro, quien polemiza contra Eratóstenes 1) a causa de Tartessos; 2) a causa de la distancia de Gades al Promontorio Sagrado.

§ 12-13. Digresión acerca de la geografía mítica de Tartessos. El Tártaro de Homero = Cimmerios en Occidente; otros héroes en el Oeste: Heracles, Odiseo, Menesteo.

§ 14. Los Fenicios en Tartessos. Cita de Anacreonte y de Herodoto acerca de Argantonio.

§ 15. Celtas de Turdetania y su civilización (Adición de Estrabón acerca de la cultura de la Bética en su tiempo).

Cap. 3. Costa desde S. Vicente hasta los Artabros. De Artemidoro (que utiliza a Polibio) con adiciones de Posidonio.

§ 3 (pág. 153): ᾗ δὴ καὶ τὸν Ἀριστοτέλη φησὶν ὁ Ποσειδώνιος οὐκ ὀρθῶς αἰτιᾶσθαι † τὴν παραλίαν ⟨τῆς Ἰβηρίας⟩ καὶ τῆς Μαυρουσίας (cod. τὴν Μαυρουσίαν) τῶν πλημμυρίδων καὶ τῶν ἀμπώτεων. παλιρροεῖν γὰρ φάναι τὴν θάλατταν διὸ τὸ τὰς ἄκρας ὑψηλάς τε καὶ τραχείας εἶναι δεχομένας τε τὸ κῦμα σκληρῶς καὶ ἀνταποδιδούσας. τἀναντία γὰρ [τῇ Ἰβηρίᾳ] θινώδεις εἶναι καὶ ταπεινὰς τὰς πλείστας, ὀρθῶς λέγων.

La costa atlántica es unas veces llana y otras escarpada, en lo cual tienen razón ambos autores a la vez. La explicación de Aristóteles respecto de la marea es, naturalmente, falsa.

τἀναντία γὰρ τῇ Ἰβηρίᾳ (que en el códice ha ido a parar detrás de ἀνταποδιδούσας) muestra que por Iberia todavía Posidonio entendía la costa oriental (ver antes, pág. 116), aunque tan sólo a potiori. En Estrabón se encuentra exclusivamente el significado extensivo de «Iberia».

§ 4 (Estrabón, 153): καὶ μετὰ τούτους ὅ τε (cod. τῆς) Λήθης ὅν τινες Λιμαίαν οἱ δὲ Βελιῶνα καλοῦσι. καὶ οὗτος δὲ ἐκ Κελτιβήρων καὶ Οὐακκαίων ῥεῖ, καὶ ὁ μετ' αὐτὸν Βαῖνις (οἱ δὲ Μίνιόν φασι)... Ποσειδώνιος δὲ ἐκ Καντάβρων καὶ αὐτὸν ῥεῖν φησι. Πρόκειται δὲ τῆς ἐκβολῆς αὐτοῦ νῆσος καὶ χηλαὶ δύο ὅρμους ἔχουσαι. ἐπαινεῖν δὲ ἄξιον τὴν φύσιν ὅτι τὰς ὄχθας ὑψηλὰς ἔχουσιν οἱ ποταμοὶ καὶ ἱκανὰς δέχεσθαι τοῖς ῥείθροις τὴν θάλατταν πλημμυροῦσαν, ὥστε μὴ ὑπερχεῖσθαι μηδ' ἐπιπολάζειν ἐν τοῖς πεδίοις. τῆς μὲν οὖν Βρούτου στρατείας ὅρος οὗτος...

Tres referencias a la campaña de Bruto Callaico en las páginas 152, 153, 155, muestran que Artemidoro (Estrabón) aquí tomaba sus noticias de Polibio, cuya fuente son los informes

de las guerras celtibéricas y lusitanas (antes, pág. 134). Posidonio es sólo fuente para la adición hasta φησί.

Cap. 4. § 1-9. Costa desde las Columnas hasta los Pirineos. De Artemidoro.

§ 3 (pág. 157). Interpolación de Asclepiades de Mirlea.

... ὑπὲρ δὲ τῶν τόπων ἐν τῇ ὀρεινῇ δείκνυται Ὀδύσσεια καὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἐν αὐτῇ, ὡς Ποσειδώνιός τε εἴρηκε καὶ Ἀρτεμίδωρος καὶ Ἀσκληπιάδης ὁ Μυρλεανός...

Posidonio junto a Artemidoro como en la pág. 138; Posidonio utiliza a Artemidoro y polemiza contra él. Ambos transmitidos probablemente por Asclepiades de Mirlea.

§ 10-19. La Meseta. Fuente Posidonio (ver pág. 163, 165) y Artemidoro (pág. 164), acaso transmitidos por Timágenes, al cual hacen referencia los numerosos pasajes acerca de las guerras posteriores (después de Posidonio): Sertorio, César, Astures y Cántabros.

§ 12 (pág. 162): ὑπερβαλλόντι δὲ τὴν Ἰδουβέδαν ἡ Κελτιβηρία παραχρῆμα πολλὴ καὶ ἀνώμαλος. τὸ μὲν πλέον αὐτῆς ἐστι τραχὺ καὶ ποταμόκλυστον. διὰ γὰρ τούτων ὅ τε Ἄνας φέρεται καὶ ὁ Τάγος καὶ οἱ ἐφεξῆς ποταμοὶ οἱ πλείους οἱ ἐπὶ τὴν ἑσπερίαν θάλατταν καταφερόμενοι, τὴν ἀρχὴν ἔχοντες ἐκ τῆς Κελτιβηρίας (cod. Ἰβηρίας).

Que los ríos occidentales proceden de Celtiberia, es probado que fuese una opinión de Polibio por la pág. 148. Polibio aquí está transmitido a través de Posidonio.

§ 13 (pág. 162): El computo de 20 años para la guerra numantina es de Polibio, a quien utilizó mucho Posidonio. Sigue:

... φησὶ δὲ Ποσειδώνιος Μάρκον Μάρκελλον πράξασθαι φόρον ἐκ τῆς Κελτιβηρίας τάλαντα ἑξακόσια, ἐξ οὗ τεκμαίρεσθαι πάρεστιν ὅτι καὶ πολλοὶ ἦσαν οἱ Κελτίβηρες καὶ χρημάτων εὐποροῦντες καίπερ οἰκοῦντες χώραν παράλυπρον. Πολυβίου δὲ εἰπόντος τριακοσίας αὐτῶν καταλῦσαι πόλεις Τιβέριον Γράκχον κωμῳδῶν φησι τοῦτο τῷ Γράκχῳ χαρίσασθαι τὸν ἄνδρα τοὺς πύργους καλοῦντα πόλεις ὥσπερ ἐν ταῖς θριαμβικαῖς πομπαῖς.

Polémica de Posidonio contra Polibio, como ya en la pág. 153.

§ 15 (pág. 163): ἐπεί, φησὶν ὁ Ποσειδώνιος, καὶ ὁ Κύπριος χαλκὸς μόνος φέρει τὴν καδμίαν λίθον καὶ τὸ χαλκανθὲς καὶ τὸ σπόδιον. ἴδιον δ' εἴρηκεν ἐν Ἰβηρίᾳ ὁ Ποσειδώνιος καὶ τὸ τὰς κορώνας [μὴ] μελαίνας εἶναι καὶ τὸ τοὺς ἵππους τῶν Κελτιβήρων ὑποψάρους ὄντας ἐπειδὰν εἰς τὴν ἔξω μεταχθῶσιν Ἰβηρίαν μεταβάλλειν τὴν χρόαν. ἐοικέναι δὲ τοῖς Παρθικοῖς, καὶ γὰρ ταχεῖς εἶναι καὶ εὐδρόμους μᾶλλον τῶν ἄλλων,

Acerca de los caballos del país ver *Numantia*, I, 171. Hoy este color no es el predominante.

Cap. 5: Las Islas. § 1-3. Artemidoro, § 4-11 Posidonio. § 4-5 Posidonio acerca de Gades y las Columnas con citas de Ferécides, Píndaro, Dicearco, Artemidoro. § 6 Estrabón. Posidonio sigue el parecer de los que veían las Columnas de Heracles en las pilastras de bronce del templo de Heracles:

(Pág. 170): τοῦτον δ' εἶναι πιθανώτατον καὶ Ποσειδώνιος ἡγεῖται τὸν λόγον, τὸν δὲ χρησμὸν καὶ τοὺς πολλοὺς ἀποστόλους ψεῦσμα Φοινικικόν.

§ 7. Posidonio acerca de la fuente en el templo de Heracles, con polémica contra Polibio, Sileno, Artemidoro:

Estrabón, 172: φησὶ δὲ ὁ Πολύβιος κρήνην ἐν τῷ Ἡρακλείῳ τῷ ἐν Γαδείροις εἶναι βαθμῶν ὀλίγων κατάβασιν ἔχουσαν εἰς τὸ ὕδωρ, πότιμον, ἣν ταῖς παλιρροίαις τῆς θαλάττης ἀντιπαθεῖν, κατὰ μὲν τὰς πλήμας ἐκλείπουσαν κατὰ δὲ τὰς ἀμπώτεις πληρουμένην. αἰτιᾶται δ' ὅτι τὸ πνεῦμα τὸ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν τῆς γῆς ἐκπῖπτον καλυφθείσης μὲν αὐτῆς ὑπὸ τοῦ κύματος κατὰ τὰς ἐπιβάσεις τῆς θαλάττης, εἴργεται τῶν οἰκείων τοιούτων ἐξόδων, ἀναστρέψαν δὲ εἰς τὸ ἐντὸς ἐμφράττει τοὺς τῆς πηγῆς πόρους καὶ ποιεῖ λειψυδρίαν· γυμνωθείσης δὲ πάλιν εὐθυπορῆσαν ἐλευθεροῖ τὰς φλέβας τῆς πηγῆς ὥστ' ἀναβλύειν εὐπόρως. Ἀρτεμίδωρος δὲ ἀντειπὼν τούτῳ καὶ ἅμα παρ' αὐτοῦ τινα θεὶς αἰτίαν μνησθεὶς δὲ καὶ τῆς Σιληνοῦ δόξης τοῦ

συγγραφέως, οὔ μοι δοκεῖ μνήμης ἄξια εἰπεῖν, ὡς ἂν ἰδιώτης περὶ ταῦτα καὶ αὐτὸς καὶ Σιληνός. Ποσειδώνιος δὲ ψευδῆ λέγων τὴν ἱστορίαν ταύτην δύο φησὶν εἶναι φρέατα ἐν τῷ Ἡρακλείῳ... τὸ μὲν μικρότερον ὑδρευομένων συνεχῶς αὐθωρὸν καὶ ἐκλείπειν καὶ διαλειπόντων τῆς ὑδρείας πληροῦσθαι πάλιν. τὸ δὲ μεῖζον δι' ὅλης τῆς ἡμέρας τὴν ὑδρείαν ἔχον μειούμενον μέντοι καθάπερ καὶ τἆλλα φρέατα πάντα νύκτωρ πληροῦσθαι μηκέτι ὑδρευομένων· ἐπειδὴ δὲ συμπίπτει κατὰ τὸν τῆς συμπληρώσεως καιρὸν ἡ ἄμπωτις πολλάκις πεπιστεῦσθαι κενῶς ὑπὸ τῶν ἐγχωρίων τὴν ἀντιπάθειαν.

§ 8 (pág. 173): οὐκ οἶδα δέ, πῶς κατ' ἄλλα δεινοὺς ἀποφαίνων ὁ Ποσειδώνιος τοὺς Φοίνικας, ἐνταῦθα μωρίαν μᾶλλον ἢ δριμύτητα αὐτῶν κατέγνωκεν. ἡμέρα μὲν γὰρ καὶ νὺξ τῇ τοῦ ἡλίου περιφορᾷ μετρεῖται, τότε μὲν ὑπὸ γῆς ὄντος, τότε δὲ ὑπὲρ γῆς φαινομένου· φησὶ δὲ τὴν τοῦ ὠκεανοῦ κίνησιν ὑπέχειν ἀστροειδῆ περίοδον, τὴν μὲν ἡμερήσιον ἀποδιδοῦσαν, τὴν δὲ μηνιαίαν, τὴν δ' ἐνιαυσιαίαν συμπαθῶς τῇ σελήνῃ. ὅταν γὰρ αὕτη ζῳδίου μέγεθος ὑπερέχῃ τοῦ ὁρίζοντος, ἄρχεσθαι διοιδεῖν τὴν θάλατταν καὶ ἐπιβαίνειν τῆς γῆς αἰσθητῶς μέχρι μεσουρανήσεως· ἐκκλίναντος δὲ τοῦ ἄστρου πάλιν ἀναχωρεῖν τὸ πέλαγος κατ' ὀλίγον, ἕως ἂν ζῴδιον ὑπερέχῃ τῆς δύσεως ἡ σελήνη· εἶτα μένειν τοσοῦτον ἐν τῇ αὐτῇ καταστάσει χρόνον, ὅσον ἡ σελήνη συνάπτει πρὸς αὐτὴν τὴν δύσιν, καὶ ἔτι μᾶλλον τοσοῦτον, ὅσον κινηθεῖσα ὑπὸ γῆς ζῴδιον ἀπόσχοι ἂν τοῦ ὁρίζοντος. εἶτ' ἐπιβαίνειν πάλιν ἕως τοῦ ὑπὸ γῆν μεσουρανήματος· εἶτ' ἀναχωρεῖν, ἕως ἂν πρὸς τὰς ἀνατολὰς περιχωρήσασα ἡ σελήνη ζῴδιον τοῦ ὁρίζοντος (pág. 174) ἀπόσχῃ. μένειν δέ, μέχρις ἂν ζῴδιον ὑπὲρ γῆς μετεωρισθῇ, καὶ πάλιν ἐπιβαίνειν. ταύτην μὲν εἶναι λέγει τὴν ἡμερήσιον περίοδον. τὴν δὲ μηνιαίαν, ὅτι μέγισται μὲν αἱ παλίρροιαι γίγνονται περὶ τὰς συνόδους, εἶτα μειοῦνται μέχρι διχοτόμου· πάλιν δ' αὔξονται μέχρι πανσελήνου, καὶ μειοῦνται πάλιν ἕως διχοτόμου φθινάδος· εἶθ' ἕως τῶν συνόδων αἱ αὐξήσεις· πλεονάζειν δὲ καὶ χρόνῳ καὶ τάχει τὰς αὐξήσεις. τὰς δ' ἐνιαυσίας παρὰ τῶν ἐν Γαδείροις πυθέσθαι φησί, λεγόντων, ὡς κατὰ θερινὰς τροπὰς μάλιστα αὔξοιντο καὶ αἱ ἀναχωρήσεις καὶ αἱ ἐπιβάσεις. εἰκάζει δ' αὐτὸς ἀπὸ τῶν τροπῶν μειοῦσθαι μὲν ἕως ἰσημερίας, αὔξεσθαι δὲ ἕως χειμερινῶν τροπῶν· εἶτα μειοῦσθαι μέχρι ἐαρινῆς ἰσημερίας· εἶτ' αὔξεσθαι μέχρι θερινῶν τροπῶν. τῶν δὲ περιόδων τούτων οὐσῶν καθ' ἑκάστην ἡμέραν καὶ νύκτα, τὸν συνάμφω χρόνον, δὶς μὲν ἐπιβαινούσης τῆς θαλάττης, δὶς δὲ ἀναχωρούσης, † τεταγμένως δὲ καὶ τῶν ἡμερησίων χρόνων καὶ τῶν νυκτερινῶν, πῶς οἷόν τε πολλάκις μὲν συμβαίνειν κατὰ τὰς ἀμπώτεις τὴν πλήρωσιν τοῦ φρέατος, μὴ πολλάκις δὲ τὴν λειψυδρίαν; ἢ πολλάκις μέν, μὴ ἰσάκις δέ; ἢ καὶ ἰσάκις δέ, τοὺς δὲ Γαδειρίτας ταῦτα μὲν μὴ ἱκανοὺς γενέσθαι τηρῆσαι τὰ καθ' ἡμέραν γινόμενα

τὰς δ' ἐνιαυσίους περιόδους ἐκ τῶν ἅπαξ συμβαινόντων κατ' ἔτος τηρῆσαι; *τὰ καθ' ἡμέραν γινόμενα,* ἀλλὰ μὴν ὅτι γε πιστεύει αὐτοῖς, δῆλον ἐξ ὧν καὶ προσεικάζει γίνεσθαι τὰς μειώσεις καὶ πάλιν αὐξήσεις ἀπὸ τροπῶν ἐπὶ τροπάς τε ἑτέρας κἀκεῖθεν πάλιν ἐπανόδους καὶ μὴν οὐδὲ ἐκεῖνο εἰκός, ὅτι τηρητικοὶ ὄντες τὰ μὲν συμβαίνοντα οὐκ εἶδον, τοῖς δὲ μὴ συμβαίνουσιν ἐπίστευσαν.

9. Φησὶ δ' οὖν Σέλευκον τὸν ἀπὸ τῆς Ἐρυθρᾶς θαλάττης καὶ ἀνωμαλίαν τινὰ ἐν τούτοις καὶ ὁμαλότητα λέγειν κατὰ τὰς τῶν ζῳδίων διαφοράς· ἐν μὲν γὰρ τοῖς ἰσημερινοῖς ζῳδίοις τῆς σελήνης οὔσης ὁμαλίζειν τὰ πάθη, ἐν δὲ τοῖς τροπικοῖς ἀνωμαλίαν εἶναι καὶ πλήθει καὶ τάχει, τῶν δ' ἄλλων ἑκάστου κατὰ τοὺς συνεγγισμοὺς εἶναι τὴν ἀναλογίαν. αὐτὸς δὲ κατὰ τὰς θερινὰς τροπὰς περὶ τὴν πανσέληνόν φησιν ἐν τῷ Ἡρακλείῳ γενόμενος τῷ ἐν Γαδείροις πλείους ἡμέρας μὴ δύνασθαι συνεῖναι τὰς ἐνιαυσίους διαφοράς.

περὶ μέντοι τὴν σύνοδον ἐκείνου τοῦ μηνὸς τηρῆσαι μεγάλην παραλλαγὴν ἐν Ἰλίπᾳ τῆς τοῦ Βαίτιος ἀνακοπῆς παρὰ τὰς ἔμπροσθεν, ἐν αἷς οὐδὲ ἕως ἡμίσους τὰς ὄχθας ἔβρεχε· τότε δ' ὑπερχεῖσθαι τὸ ὕδωρ, ὥσθ' ὑδρεύεσθαι τοὺς στρατιώτας αὐτόθι (διέχει δ' Ἰλίπα τῆς θαλάττης περὶ ἑπτακοσίους σταδίους)· τῶν δ' ἐπὶ θαλάττῃ πεδίων καὶ ἐπὶ τριάκοντα σταδίους εἰς βάθος καλυπτομένων ὑπὸ τῆς πλημμυρίδος, ὥστε καὶ νήσους ἀπολαμβάνεσθαι, τὸ τῆς κρηπῖδος ὕψος τῆς τε τοῦ νεὼ τοῦ ἐν τῷ Ἡρακλείῳ καὶ τῆς τοῦ χώματος, ὃ τοῦ λιμένος πρόκειται τοῦ ἐν Γαδείροις, οὐδ' ἐπὶ δέκα πήχεις καλυπτόμενον ἀναμετρῆσαί φησι· κἂν προσθῇ δέ τις τὸ διπλάσιον τούτου κατὰ τὰς γενομένας ποτὲ παραυξήσεις, [οὐδ'] οὕτω παρασχεῖν ἂν τὴν ἔμφασιν, ἣν ἐν τοῖς πεδίοις παρέχεται τὸ μέγεθος τῆς πλημμυρίδος. τοῦτο μὲν δὴ τὸ πάθος κοινὸν ἱστορεῖται κατὰ πᾶσαν τὴν κύκλῳ παρωκεανῖτιν, τὸ δὲ τοῦ Ἴβηρος ποταμοῦ καινὸν καὶ ἴδιόν φησιν οὗτος· πλημμυρεῖν γὰρ ἔσθ' ὅπου *τε* καὶ χωρὶς ὄμβρων καὶ χιόνων, ἐπειδὰν τὰ βόρεια πνεύματα πλεονάσῃ, αἰτίαν δ' εἶναι τὴν λίμνην, δι' ἧς ῥεῖ· συνεκβάλλεσθαι γὰρ τὸ λιμναῖον ὑπὸ τῶν ἀνέμων.

10. Ἱστορεῖ δὲ καὶ δένδρον ἐν Γαδείροις ὄζους ἔχον καμπτομένους εἰς ἔδαφος, πολλάκις δὲ φύλλα ξιφοειδῆ πηχυαῖα τὸ μῆκος, πλάτος δὲ τετραδάκτυλα, περὶ δὲ Νέαν Καρχηδόνα δένδρον ἐξ ἀκάνθης φλοιὸν ἀφιέναι, ἐξ οὗ ὑφάσματα γίνεται κάλλιστα. τῷ μὲν οὖν ἐν Γαδείροις καὶ ἡμεῖς οἴδαμεν ὅμοιον ἐν Αἰγύπτῳ κατὰ τὴν τῶν κλάδων κατάκαμψιν, τοῖς δὲ φύλλοις ἀνόμοιον, οὐδὲ καρπὸν ἔχον· τοῦτο δ' ἔχειν φησί. τὰ δ' ἀκάνθινα ὑφαίνεται καὶ ἐν Καππαδοκίᾳ, φέρει δ' οὐ *δὲν* δένδρον τὴν ἄκανθαν, ἐξ ἧς ὁ φλοιός, ἀλλὰ χαμαίζηλος ἡ βοτάνη. τῷ δὲ δένδρῳ τῷ ἐν Γαδείροις καὶ τοῦτο προσιστόρηται, ὅτι κλάδου μὲν ἀποκλωμένου γάλα ῥεῖ, ῥίζης δὲ τεμνομένης μιλτῶδες ὑγρὸν ἀναφέρεται· τοσαῦτα καὶ περὶ Γαδείρων.

11 (p. 175) Αἱ δὲ Καττιτερίδες δέκα μέν εἰσιν, κεῖνται δ' ἐγγὺς ἀλλήλων πρὸς ἄρκτον ἀπὸ τοῦ τῶν Ἀρτάβρων λιμένος πελάγιαι· μία δ' αὐτῶν ἔρημός ἐστιν, τὰς δ' ἄλλας οἰκοῦσιν ἄνθρωποι μελάγχλαινοι, ποδήρεις ἐνδεδυκότες τοὺς χιτῶνας, ἐζωσμένοι περὶ τὰ στέρνα, μετὰ ῥάβδων περιπατοῦντες, ὅμοιοι ταῖς τραγικαῖς Ποιναῖς· ζῶσι δ' ἀπὸ βοσκημάτων νομαδικῶς τὸ πλέον. μέταλλα δὲ ἔχοντες καττιτέρου καὶ μολύβδου κέραμον ἀντὶ τούτων καὶ τῶν δερμάτων διαλλάττονται καὶ ἅλας καὶ χαλκώματα πρὸς τοὺς ἐμπόρους· πρότερον μὲν οὖν Φοίνικες μόνοι τὴν ἐμπορίαν ἔστελλον ταύτην ἐκ τῶν Γαδείρων, κρύπτοντες ἅπασι τὸν πλοῦν· τῶν δὲ Ῥωμαίων ἐπακολοθούντων ναυκλήρῳ τινί, ὅπως καὶ αὐτοὶ γνοῖεν τὰ ἐμπόρια, φθόνῳ ὁ ναύκληρος ἑκὼν εἰς τέναγος ἐξέβαλε τὴν ναῦν, ἐπαγαγὼν δ' εἰς τὸν αὐτὸν ὄλεθρον καὶ τοὺς ἑπομένους αὐτὸς ἐσώθη διὰ ναυαγίου καὶ ἀπέλαβε δημοσίᾳ τὴν τιμὴν ὧν ἀπέβαλε φορτίων. οἱ Ῥωμαῖοι δὲ ὅμως πειρώμενοι πολλάκις ἐξέμαθον τὸν πλοῦν· ἐπειδὴ δὲ καὶ Πόπλιος Κράσσος, διαβὰς ἐπ' αὐτούς, ἔγνω τὰ μέταλλα ἐκ μικροῦ βάθους ὀρυττόμενα καὶ τοὺς ἄνδρας εἰρηναίους, ἐκ περιουσίας ἤδη τὴν θάλατταν ἐργάζεσθαι ταύτην τοῖς ἐθέλουσιν ἐπέδειξε, καίπερ οὖσαν πλείω τῆς διειργούσης *εἰς* τὴν Βρεττανικήν. καὶ περὶ μὲν Ἰβηρίας καὶ τῶν προκειμένων νήσων ταῦτα.

Posidonio en Estrabón III:
Cap. I, § 1-3. Posidonio.
5-6. Posidonio.
8-9. Posidonio junto con Artemidoro.
Cap. II. Posidonio (con adiciones de Timágenes).
Cap. III. Posidonio junto con Artemidoro, especialmente § 3-4.
Cap. IV. Posidonio, especialmente § 13, 15, 71.
Cap. V. 4-11. Posidonio.

Estrabón, 615: ἐν Ἰβηρίᾳ δέ φησιν ἰδεῖν Ποσειδώνιος ἔκ τινος γῆς ἀργιλώδους, ᾗ τὰ ἀργυρώματα ἐκμάττεται, πλίνθους πηγνυμένας καὶ ἐπιπλεούσας.

Compárese con Plinio 35, 172; Vitrubio, 2, 3, 15.

Estrabón, 827: περὶ ὧν καὶ Ποσειδώνιος εἴρηκεν ὅτι πλέων ἐκ Γαδείρων εἰς τὴν Ἰταλίαν...

Igualmente pág. 144.

Plutarco, Mario 14: τῶν γὰρ βαρβάρων ὥσπερ τινὰ παλίρροιαν τῆς ὁρμῆς λαβόντων καὶ ῥυέντων πρότερον ἐπὶ τὴν Ἰβηρίαν χρόνον ἔσχε (Mario) καὶ τὰ σώματα γυμνάσαι τῶν ἀνδρῶν καὶ τὰ φρονήματα πρὸς τὸ θαρρεῖν ἀναρρῶσαι...

Los Cimbrios después de su victoria en Arausio (105 a. de J. C.) fueron a España. La comparación de sus movimientos con las mareas es posidónica.

Ateneo 273 y sig.: ἔλαβον δὲ καὶ (οἱ Ῥωμαῖοι) παρὰ Τυρρηνῶν τὴν σταδίαν μάχην φαλαγγηδὸν ἐπιόντων καὶ παρὰ Σαυνιτῶν δὲ ἔμαθον θυρεοῦ χρῆσιν, παρὰ δὲ Ἰβήρων γαίσων...

De Posidonio (ver *Hermes*, 1893, 335). El pilum romano es una imitación de la falarica ibérica (ver Schulten, *Ursprung des Pilums, Rheinisches Museum*, 1911).

Cleomedes (de *motu corp. cael.*, ed. Ziegler) saca de Posidonio indicaciones acerca del tiempo de la salida del sol en Iberia página 14):

1, 8, 41: οἱ γοῦν Πέρσαι πρὸς τῇ ἀνατολῇ οἰκοῦντες τέσσαρσιν ὥραις πρῶτοι λέγονται ἐντυγχάνειν τῇ ἐκβολῇ τοῦ ἡλίου τῶν Ἰβήρων πρὸς δυσμαῖς οἰκούντων.

2, 1, 89: ἀλλὰ γὰρ μυθαρίῳ γραώδει πιστεύσας ὡς τῶν Ἰβήρων ἱστορούντων ἐμπίπτοντα τὸν ἥλιον τῷ ὠκεανῷ ψόφον ποιεῖν σβεννύμενον ὡς διάπυρον σίδηρον ἐν ὕδατι (con Estrabón 138).

Ambos pasajes de Posidonio.

Asclepiades de Mirlea (siglo I a. de J. C.)

περιήγησις Τουρδητανίας (ver *RE.* II, 1628; B. A. Müller, *De A. Myrleano,* Dissert. Leipzig, 1903).

1) Estrabón, 157: μετὰ ταύτην (Sexi) Ἄβδηρα, Φοινίκων κτίσμα καὶ αὐτή. ὑπὲρ δὲ τῶν τόπων ἐν τῇ ὀρεινῇ δείκνυται Ὀδύσσεια καὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἐν αὐτῇ, ὡς Ποσειδώνιός τε εἴρηκε καὶ Ἀρτεμίδωρος καὶ Ἀσκληπιάδης ὁ Μυρλεανός, ἀνὴρ ἐν τῇ Τουρδητανίᾳ παιδεύσας τὰ γραμματικὰ καὶ περιήγησίν τινα τῶν ἐθνῶν ἐκδεδωκὼς τῶν ταύτῃ. οὗτος δέ φησιν ὑπομνήματα τῆς πλάνης τῆς Ὀδυσσέως ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἀσπίδας προσπεπατταλεῦσθαι καὶ ἀκροστόλια, ἐν Καλλαϊκοῖς δὲ τῶν μετὰ Τεύκρου στρατευσάντων τινὰς οἰκῆσαι καὶ ὑπάρξαι πόλεις αὐτόθι, τὴν μὲν καλουμένην Ἕλληνες, τὴν δὲ Ἀμφίλοχοι, ὡς καὶ τοῦ Ἀμφιλόχου τελευτήσαντος δεῦρο καὶ τῶν συνόντων πλανηθέντων μέχρι τῆς μεσογαίας. καὶ τῶν μεθ' Ἡρακλέους δέ τινας καὶ τῶν ἀπὸ Μεσσήνης ἱστορῆσθαί φησιν ἐποικῆσαι τὴν Ἰβηρίαν, τῆς δὲ Κανταβρίας μέρος τι κατασχεῖν Λάκωνας καὶ οὗτός φησι καὶ ἄλλοι.

La época de Asclepiades no es conocida, pero parece deberse interpretar el pasaje arriba transcrito como si Posidonio y Artemidoro hubiesen sido citados por Asclepiades, en cuyo caso Asclepiades debió escribir después de Posidonio.

Asclepiades es un representante de la tendencia racionalista, seguida también por Estrabón, que interpretaba los mitos como cosa histórica y que encontraba rastros griegos, helenizando los nombres indigenas (*), en donde quiera que habían penetrado héroes griegos con el ensanchamiento del horizonte geográfico. Así hizo Asclepiades con España, en donde fué maestro de retórica. El lugar de Odiseia, colocado en la mon-

taña más arriba de Abdera, por lo tanto en la Sierra Nevada, es desconocido, pero acaso tenía el mismo nombre que Oducia junto a Sevilla *(CIL.* II, 1056, 1182).

La ciudad Ἕλληνες del país de los Calaicos se corresponde con la tribu de los Heleni (Plinio, 4, 112; *CIL.* II, 5686). Un nombre semejante al de Ἀμφίλοχοι, que también atestigua Justino 44, 3, 4, no es conocido en Callaecia, pero se ve que se trata de un nombre con el sufijo céltico *-amb* (comparar con Ambilici junto al Licus-Lech) y que por lo tanto en -λοχοι se oculta un nombre indígena de río. Otros nombres de esta región, interpretados según la moda griega, son Tude (hoy Tuy junto al Miño) que debía llamarse según Tideo *(MLI.* p. 242) y la tribu de los Grovii que se relacionó con los Griegos *(MLI* 232) *(RE* s. *Grovii).*

Teucro y los «Amphilochoi» entre los Calaicos, son conocidos también por Justino 44, 3, el cual en la derivación de Cartago-Nova de Teucro concuerda con Silio Italico 3, 368.

De Asclepiades debe proceder lo que atestigua Estrabón, 155 acerca de las hecatombes «helénicas», del ἑλληνικῶς γαμεῖν de las tribus del NW. (Calaicos, Astures, Cántabros) y en 154 acerca de los baños de vapor «laconios» de los habitantes del Duero.

Llena de helenizaciones está también la etnología ibérica de Silio Itálico.

2) Estrabón, 166: [ἄλλοι δὲ Ἰβηρίαν] μόνην ἐκάλουν τὴν ἐντὸς τοῦ Ἴβηρος. οἱ δ' ἔτι πρότερον αὐτοὺς τούτους Ἰ γ λ ῆ τ α ς, οὐ πολλὴν χώραν νεμομένους, ὥς φησιν Ἀσκληπιάδης ὁ Μυρλεανός.

La explicación la da el Periplo *(Fontes,* I, 93: ed. cast., pág. 100) que atestigua el nombre de I b e r i a para el pequeño trozo de costa entre el Anas y el I b e r o - Río Tinto. Habitada por los I g l e t e s, que vivían junto al Betis, o por su vecindad es natural que sólo puede significarse con Iberia en Asclepiades estos lugares y no como Estrabón quiere, el país al N. del Ebro *(Numantia,* I, 35).

(*) Ver Renkel, *Hispania Graecanica,* Diss. Erlangen, 1920 (inédita).

Jenofonte de Lampsaco (hacia 100 a. de J. C.)

περίπλους [τῆς ἐκτὸς θαλάττης] (ver Detlefsen, *Entdeckung des germanischen Nordens*, 1904, pág. 20).

Plinio, n. h. 6, 200: *contra hoc quoque promunturium (Hesperu Ceras) Gorgades insulae narrantur, Gorgonum quondam domus, bidui navigatione distantes a continente, ut tradit Xenophon Lampsacenus. Penetravit in eas Hanno Poenorum imperator prodiditque hirta feminarum corpora, viros pernicitate evasisse duarumque Gorgadum cutes argumenti et miraculi gratia in Junonis templo posuit spectatas usque ad Carthaginem captam. Ultra has etiamnum duae Hesperidum insulae narrantur adeoque omnia haec incerta sunt, ut Statius Sebosus a Gorgonum insulis praenavigatione Atlantis dierum XL ad Hesperidum insulas cursum prodiderit, ab his ad Hesperu Ceras unius.*

Como que Jenofonte de Lampsaco habla tanto de la isla del ámbar Abalus (Helgoland) como de las Gorgadas junto al Cabo Verde, fué su Periplo (Plinio 7, 155; Valerio Máximo 13 ext. 7) un Periplo del Océano.

Originariamente las Gorgonas se colocaban cerca de Tartessos en la isla Sarpedonia, hoy Banco de Salmedina, delante de la desembocadura del Guadalquivir (ver antes, pág. 6; *Tartessos*, 35). Más tarde se transportaron a la costa del Occidente de África: en las proximidades de Cabo Verde, porque allí Hannón encontró los Gorilas (Hannón, Periplo 18) que se tomaron por las Gorgonas. Así sucede aquí lo mismo que en Juvenal 12, 4: *Gorgone Maura.*

Eudoxo de Cizico (hacia 100 a. de J. C.)

Eudoxo de Cizico intentó desde Gades la circumnavegación de Africa (Estrabón, 98-101). La tentativa presupone un conocimiento previo de la costa occidental, como lo poseían los Gaditanos (ver *RE.* VI, 929 y antes, pág. 171).

Latérculo Alejandrino (hacia el siglo II a. de J. C.)
(ed. Diels, *Abhandlungen der Berliner Akademie der Wissenschaften*, 1904, 12).

ποταμοὶ οἱ μέγιστοι: ἐν τῇ Ἰβηρίᾳ Ῥόδανος ὁ κατὰ Μασσαλίαν.

Ver antes, pág. 19. (Esquilo).

Ateneo (siglo I a. de J. C.)

περὶ μηχανημάτων (ed. Rud. Schneider, *Griechische Poliorketiker* II, pág. 14)

Pág. 14: ... κριὸν μὲν ἔφασκον εὑρεθῆναι πρώτιστον ὑπὸ Καρχηδονίων ἐν τῇ περὶ Γάδειρα πολιορκίᾳ. Χωρίδιον γάρ τι προκαταλαμβανομένων αὐτῶν...

Gades está por Tartessos. Con el castillo que los Cartagineses destruyeron antes del sitio de Tartessos, se quiere significar quizás el *arx Gerontis*, que vigilaba el paso hacia Tartessos (ver *Tartessos*, 45).

Hicesio (hacia 100 a. de J. C.)

περὶ ὕλης (ver *RE*. VIII, 1593).

Ateneo 315 D. Ἱκέσιος δὲ τοὺς μὲν ἐν Γαδείροις (ὀρκύνους) ἁλισκομένους πιμελεστέρους εἶναι, μετὰ δὲ τούτους τοὺς ἐν Σικελίᾳ. τοὺς δὲ πόρρω Ἡρακλείων στηλῶν ἀλιπεῖς διὰ τὸ πλείονα τόπον ἐκνενῆχθαι. ἐν Γαδείροις μὲν οὖν τὰ κλειδία καθ' αὑτὰ ταριχεύεται, ὡς καὶ τῶν ἀντακαίων αἱ γνάθοι καὶ οὐρανίσκοι καὶ οἱ λεγόμενοι μελανδρύαι ἐξ αὐτῶν ταριχεύονται. Ἱκέσιος δέ φησι τὰ ὑπογάστρια αὐτῶν λιπαρὰ ὑπάρχοντα τῇ εὐστομίᾳ πολὺ διαλλάσσειν τῶν ἄλλων μερῶν... τὰ δὲ κλειδία εὐστομώτερα εἶναι τούτων.

Hicesio, célebre médico, recomienda comer pescado a los enfermos.

Dorión (siglo I antes de J. C.)

περὶ ἰχθύων

Ateneo, 315 C: Δωρίων ἐν τῷ περὶ ἰχθύων τοὺς ὀρκύνους ἐκ τῆς περὶ Ἡρακλέους στήλας θαλάσσης περαιουμένους εἰς τὴν καθ' ἡμᾶς ἔρχεσθαι θάλασσαν. διὸ καὶ πλείστους ἁλίσκεσθαι ἐν τῷ Ἰβηρικῷ καὶ Τυρρηνικῷ πελάγει.

«Orkynos», una especie de atún (ver Eliano, *nat. anim.* 1, 42). Dorión buscó sus noticias en el escrito περὶ ὕλης del médico Hicesio (ver antes, pág. 191).

Partenio (hacia 70 a. de J. C.)

(ed. Martini, *Mythogr. Graeci* II, 1, Suppl.).

1) Esteban de Bizancio: ...Παρθένιος ἐν Λευκαδίαισι „Ἰβηρίτῃ... αἰγιαλῷ" (Myth. Graeci II, 1, pág. 17).

2) π. ἐρωτ. παθημάτων 30: λέγεται δὲ καὶ Ἡρακλέα ὅτε ἀπ' Ἐρυθείας τὰς Γηρυόνου βοῦς ἤγαγεν ἀλώμενον διὰ τῆς Κελτῶν χώρας ἀφικέσθαι παρὰ Βρεταννόν, τῷ δὲ ἄρα ὑπάρχειν θυγατέρα Κελτίνην ὄνομα.

Aquí, por lo tanto, Heracles emprende su camino de vuelta, no como de ordinario a través de España, sino por el Océano: este rasgo del mito parece antiguo y hace pensar en antiguos viajes desde España (Tartessos) hacia los países del N. (ver *Tartessos*, pág. 34).

3) Escoliasta de Dionisio Periegeta, 456 (Myth. Graeci II, 1 supl. p. 31): ὁ δὲ Παρθένιος Βριάρεω τὰς Στήλας φησὶν εἶναι:

„... μάρτυρα δ' ἄμμιν
τὴν ἐπὶ Γαδείρᾳ ἔλλιπε θημοσύνην
ἀρχαίου Βριάρηω ἀπ' οὔνομα τὸ πρὶν ἀράξας."

Ver Meineke, *Anal. Alex.* 278; acerca de Briareo, ver antes, pág. 75, 120.

Alejandro Polihistor (hacia 60 a. de J. C.)

(ed. *FHG.* III, 206 y sig.; ver *RE* I, 1449).

Esteban de Biz. s. Γάδειρα: λέγεται καὶ Γαδειρίτης ὡς Ἀλέξανδρος ὁ Πολυίστωρ.

Como que Alejandro escribió multitud de monografías de los diferentes países, también del Occidente (Λιβυκά), puede proceder el fragmento de un escrito acerca de Iberia (ver *RE*. I 1450).

Pseudo Apolodoro: βιβλιοθήκη (siglo I a. de J. C.)
(ed. R. Wagner; ver *RE.* I, 2875).

I, 6, 1, 3: οὗτος (Ἀλκυονεύς) δὲ καὶ τὰς Ἡλίου βόας ἐξ Ἐρυθείας ἤλασε.

2, 5, 10: δέκατον δὲ ἐπετάγη ἆθλον τὰς Γηρυόνου βοῦς ἐξ Ἐρυθείας κομίζειν. Ἐρύθεια δὲ ἦν Ὠκεανοῦ πλησίον κειμένη νῆσος, ἣ νῦν Γάδειρα καλεῖται. ταύτην κατῴκει Γηρυόνης Χρυσάορος καὶ Καλλιῤῥόης τῆς Ὠκεανοῦ, τριῶν ἔχων ἀνδρῶν συμφυὲς σῶμα, συνηγμένον ⟨μὲν⟩ εἰς ἓν κατὰ τὴν γαστέρα, ἐσχισμένον δὲ εἰς τρεῖς ἀπὸ λαγόνων τε καὶ μηρῶν. εἶχε δὲ φοινικᾶς βόας, ὧν ἦν βουκόλος Εὐρυτίων, φύλαξ δὲ Ὄρθρος ὁ κύων δικέφαλος ἐξ Ἐχίδνης καὶ Τυφῶνος γεγεννημένος. πορευόμενος οὖν ἐπὶ τὰς Γηρυόνου βόας διὰ τῆς Εὐρώπης, ἄγρια πολλὰ † παρελθὼν Λιβύην ἐπέβαινε, καὶ παρελθὼν Ταρτησσὸν ἔστησε σημεῖα τῆς πορείας ἐπὶ τῶν ὅρων Εὐρώπης καὶ Λιβύης ἀντιστοίχους δύο στήλας. θερ⟨μαιν⟩όμενος δὲ ὑπὸ Ἡλίου κατὰ τὴν πορείαν τὸ τόξον ἐπὶ τὸν θεὸν ἐνέτεινεν· ὁ δὲ τὴν ἀνδρείαν αὐτοῦ θαυμάσας χρύσεον ἔδωκε δέπας, ἐν ᾧ τὸν Ὠκεανὸν διεπέρασεν. καὶ παραγενόμενος εἰς Ἐρύθειαν ἐν ὄρει Ἄβαντι αὐλίζεται. αἰσθόμενος δὲ ὁ κύων ἐπ' αὐτὸν ὥρμα· ὁ δὲ καὶ τοῦτον τῷ ῥοπάλῳ παίει, καὶ τὸν βουκόλον Εὐρυτίωνα τῷ κυνὶ βοηθοῦντα ἀπέκτεινε. Μενοίτης δὲ ἐκεῖ τὰς Ἅιδου βόας βόσκων Γηρυόνῃ τὸ γεγονὸς ἀπήγγειλεν· ὁ δέ καταλαβὼν Ἡρακλέα παρὰ ποταμὸν Ἀνθεμοῦντα τὰς βόας ἀπάγοντα συστησάμενος μάχην τοξευθεὶς ἀπέθανεν. Ἡρακλῆς δὲ ἐνθέμενος τὰς βόας εἰς τὸ δέπας καὶ διαπλεύσας εἰς Ταρτησσὸν Ἡλίῳ πάλιν ἀπέδωκε τὸ δέπας. διελθὼν δὲ Ἰβηρίαν (cod. αὐδηρίαν) εἰς Λιγυστίνην ἦλθεν, ἐν ᾗ τὰς βόας ἀφῃροῦντο Ἀλεβίων τε καὶ Δέρκυνος οἱ Ποσειδῶνος υἱοί, οὓς κτείνας διὰ Τυῤῥηνίας ᾔει.

De Pisandro? Ver antes, pág. 8.

Epitome de Apolodoro (*Mythographi Graeci* I), 6, 15 B: μετὰ τὴν Ἰλίου πόρθησιν... οἱ τοῦ Τληπολέμου προσίσχουσι Κρήτῃ, εἶτα ὑπ' ἀνέμων ἐξωσθέντες περὶ τὰς Ἰ β η ρ ι κ ὰ ς ν ή σ ο υ ς ᾤκησαν.

Compárese con Timeo (antes, pág. 102).

ÍNDICE DE AUTORES

Acilio (C.) 130: Autores que forman parte de la serie de fuentes de este fascículo. — *Agatemero: 92*: Autores de los que se transcriben pasajes. — Anales: 124: Autores citados sin transcribir los textos.

ÍNDICE DE MATERIAS

FE DE ERRATAS

Pág.	Línea	Dice:	Debe decir:
7	4	Paleófato	Paléfato
48	16	κάλεῖτε... στῆλας	καλεῖτε... στήλας
60	7	Κελτοί	Κελτοὶ
62	última	ἐστί	ἐστὶ
95	antepenúltima	Puncia	Punica
95	penúltima	Αφροδισίας	Αφροδισιάς
104	9	Ἰβηρία	Ἰβηρίᾳ
168	32	gladius Hispanensis	gladius Hispaniensis
184	21	ὤκεανῷ	ὢκεανῷ